διόπερ ἡμεῖς καθ' ἑκάστην γραφὴν ἐκλεξάμενοι τὰς καταγεγραμμένας λέξεις διὰ μὲν τοῦ συγγράμματος δηλώσομεν, ὁποῖαι τυγχάνουσι κείμεναι ἐν ὅσαις τε βίβλοις ἱστοροῦνται αἱ μὴ συνήθεις, διὰ δὲ τῆς ἐξαπλώσεως ἐμφανίσομεν πόσα σημαίνουσι, μιμνῃσκόμενοι καὶ τῶν ἅπαξ εἰρημένων καὶ τὰς ἀνακεχωρηκυίας διδύμοις πιστούμενοι μαρτυρίαις, τὰς δὲ οὐχ οὕτως ἀσαφεῖς εἰς τὸ ⟨ἓν⟩ ἀνθ' ἑνὸς δηλούμενον ὑπάγοντες, προσεξαπλοῦντες δὲ καὶ τὰς παρὰ τοῖς ἄλλοις τέλεον παραλελειμμένας. τό τε γὰρ τέρθρον τοῦ πάθους οὐδεὶς αὐτῶν ἐξηγεῖται καὶ τὰς αἰθόλικας καὶ τὸ κερχνῶδες καὶ τὰς τερμίνθους τό τε θηριῶδες καὶ τὸ σκορδίνημα καὶ τὸν σκῖρον καὶ τὴν ἐκνυπὴν μήτραν καὶ τὸ ἐπηλυγάζεσθαι τά τε αἱμόκερχνα καὶ τὸ φολλικῶδες καὶ τὸ ἔναιμον νεῦρον καὶ τὸ ἴκταρ καὶ ἄλλας πλείους λέξεις, ὑπὲρ ὧν ἐν
36 τοῖς κατὰ μέρος | ἐροῦμεν.

16 τὸ τέρθρον τοῦ πάθους] **T 29** 17 αἰθόλικας] **A 49** 18 κερχνῶδες] **K 8** τερμίνθους] *fragm.* **13** τὸ θηριῶδες] **T 4** 19 σκορδίνημα] **Σ 5**, *cf.* **K 9** σκῖρον] *cf.* **Σ 53** ἐκνυπὴν μήτραν] ἐκνυπὴν *suspectum uidetur (cf. tamen Gal. XIX 96, 9 K.); deest quidem apud Hipp.: in glossario Erotiani intercidit* 20 ἐπηλυγάζεσθαι] **E 76**. **T 31** αἱμόκερχνα **A 25** φολλικῶδες] **Φ 6** 21 ἔναιμον νεῦρον] **N 7** ἴκταρ] **I 20**

2 ἑκάστη CK : ἑκάστους A : ἕκαστος HLMO *uerba* σιωπῆς ἱκανῆς *suspecta* : σιωπ⟨ήσας μομφ⟩ῆς ἱκανῆς *Klein* 4 *post* μὴ *add.* μόνον *Ilberg Abh. 104 n. 1* 5 ᾗ *Ermerins* : εἰ *codd.* 7 αἷς *Chartier* : οἷς *codd.* 9 ἐξελεξάμενοι HLMO 13 ἀνακεχαιρηκυίας LMO : ἀνακεχειρηκυίας H 14 διδύμοις] duobus *Eust.* : διδύμους ALMO : διδύμου H μαρτυρίαις] testimoniis *Eust.* : μαρτυρίας *codd.* 15 ἓν *add. Ermerins* δηλουμένας KH : δηλουμένως LMO 16 παρὰ] περὶ A τό τε γὰρ τέρθρον τοῦ πάθους *Steph.* : τοῦ τε γὰρ τέρθρου τὸ πάθος *codd.* 18 τέρμινθας *codd.* : *corr. Foes 616* 19 σκῖρον *scripsi* : σκίρρον *codd.* 20 φιλλικῶδες *codd.* : *corr. Steph.*

ὅθεν καὶ ἐπεὶ τῶν ἀληθῶς κομιζομένων συνταγμάτων ἔστι ⟨ἃ⟩ μὲν σημειωτικά, ἃ δὲ φυσικὰ καὶ αἰτιολογικά, ἔνια δ᾽ εἰς τὸν περὶ τέχνης συντείνοντα λόγον, καὶ τῶν θεραπευτικῶν ἃ μὲν διαιτητικά, ἃ δὲ χειρουργούμενα καὶ πάντως μικτά, δίκαιον ἡγοῦμαι προϊστορήσας τὸν τῶν βιβλίων ἀριθμὸν τηνικαῦτα ἐπὶ τὴν τῶν λέξεων ἀνάπλωσιν ἥκειν.

σημειωτικὰ μὲν οὖν ἐστι ταῦτα· Προγνωστικόν, Προρρητικὸν α´ καὶ β´ (ὡς οὐκ ἔστιν Ἱπποκράτους, ἐν ἄλλοις δείξομεν), Περὶ χυμῶν. αἰτιολογικὰ δὲ καὶ φυσικά· Περὶ φυσῶν, Περὶ φύσεως ἀνθρώπου, Περὶ ἱερᾶς νόσου, Περὶ φύσεως παιδίου, Περὶ τόπων καὶ ὡρῶν. θεραπευτικὰ δέ· τῶν μὲν εἰς χειρουργίαν ἀνηκόντων· Περὶ ἀγμῶν, Περὶ ἄρθρων, Περὶ ἑλκῶν, Περὶ τραυμάτων καὶ βελῶν, Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων, Κατὰ ἰητρεῖον, Μοχλικόν, Περὶ αἱμορροΐδων καὶ συρίγγων. εἰς δίαιταν· Περὶ νούσων α´ β´, Περὶ πτισάνης, Περὶ τόπων τῶν κατὰ ἄνθρωπον, Γυναικείων α´ β´, Περὶ τροφῆς, Περὶ ἀφόρων, Περὶ ὑδάτων. ἐπίμικτα δέ ἐστι ταῦτα· Ἀφορισμοί, Ἐπιδημίαι ζ´. τῶν δ᾽ εἰς τὸν περὶ τέχνης τεινόντων λόγον· Ὅρκος, Νόμος, Περὶ τέχνης, Περὶ ἀρχαίας ἰατρικῆς. Πρεσβευτικὸς γὰρ καὶ Ἐπιβώμιος φιλόπατριν μᾶλλον ἢ ἰατρὸν ἐμφαίνουσι τὸν ἄνδρα.

ὥστ᾽ ἐπεὶ ταύτας τινὰς βεβαίως Ἱπποκράτους λέγομεν εἶναι, διδασκαλίας εὐσήμου ἕνεκεν ἀρκτέον οὖν ἂν εἴη ἀπὸ τῶν σημειωτικῶν, ἐπειδὴ πάσης αἰτιολογίας καὶ θεραπείας προηγεῖσθαι ὀφείλει σημείωσις. λοιπὸν ἀρξώμεθα ἀπὸ τοῦ Προγνωστικοῦ. |

1 ἐπεὶ *Steph.* : ἐπὶ *codd.* ἀληθῶς] uere *Eust.* : ἀληθ *(adscr. ambig. compend.) codd.* 2 ⟨ἃ⟩ μὲν *scripsi* : μὲν ⟨ἃ⟩ *Steph.* 6 τὴν *om.* LMO 10 ἱεροῦ LMO 12 χειρουργίαν *Turnebus* : χρόνους *codd.* 14 ἰητρίον *et sic saepe codd.* 15 πτισσάνης *et sic ubique codd.* 20 πρεσβυτικὸς HLMO 22 ἐπὶ ταύταις *codd.* : *corr.* *Ermerius*

37

ΑΡΧΗ ΤΟΥ Α

1. ἀλυσμόν· ἀπορίαν, ἀμηχανίαν. ὡς καὶ Ὅμηρος ἐν τῇ ε΄ τῆς Ἰλιάδος ἐπὶ τῆς Ἀφροδίτης τετρωμένης φησίν·

ὣς ἔφαθ', ἡ δ' ἀλύουσ' ἀπεβήσετο,

ἀντὶ τοῦ ἀποροῦσα καὶ ῥιπταζομένη. Βακχεῖος μέντοι ἐν τῷ α΄ τῶν Λέξεών φησι· 'τό ἀλύειν ἀδυνατεῖν, πλανᾶσθαι, ἄχθεσθαι'. οὐκ ὀρθῶς· οὐ γὰρ εἴ τις ἄχθεται, πλανᾶται ἢ ἀδυνατεῖ πάντως καὶ ἀλύει. οἱ γοῦν ἀλύοντες ἄχθονται μὲν ἐν τῷ ἀδυνᾶσθαι, οὐκ ἀλύουσι δὲ οἱ πλανώμενοι. ἀλλ' ὡς εἰκὸς ἐπλάνησεν αὐτὸν Ἡρόφιλος συνώνυμον θεὶς τὸ ἀλύειν τῷ πλανᾶσθαι. κεῖται ἐν τετάρτῳ Ἐπιδημιῶν καὶ ἐν α΄ Γυναικείων καὶ ἐν Ἀφορισμοῖς.

2. ἀπεδείξαμεν· ἐποιήσαμεν.

3. ἄλλη κοιλίη· ἀντὶ τοῦ ἡ λοιπή. πολλαχοῦ γὰρ αὐτὸς τὸ ἄλλο ἐπὶ τοῦ λοιποῦ τίθησιν, ὡς κἀν τῷ Περὶ ἄρθρων.

4. ἀτρεκέως· Βακχεῖος μὲν ἐν τῷ α΄ φησὶν ἀληθῶς, αὐτάρκως, ἀκριβῶς, Φιλῖνος δὲ μόνον ἀκριβῶς, Ἐπικλῆς δὲ σαφῶς, εἰλικρινῶς. ὁ μέντοι Ἱπποκράτης οὐ καθ' ἑνὸς σημαι-
38 νομένου φαίνεται τάττων | τὴν λέξιν, ἀλλα πλεονάκις μὲν ἐπὶ τοῦ ἀκριβῶς, σπανιάκις δὲ ἐπὶ τοῦ ἀληθῶς λέγων· ''οὐ δύναται

1. *Prognost. 3 (II 120, 2 L. = I 81, 19 Kw.)* ἀλυσμόν *cf. fragm.* **20** *cf. Gal. XIX 75, 15 sqq. K.* 3 τῇ ε' τῆς Ἰλιάδος] Ε *352* 11 τετάρτῳ Ἐπιδημιῶν] *46 (V 188, 13 L.)* α' Γυναικείων] *11 (VIII 44, 15 L.)* 12 Ἀφορισμοῖς] *in Aphor. non repperi* **2**. *Prognost. 6 (II 124, 3 L. = I 83, 11 Kw.)* ἀπέδειξαν **3**. *Prognost. 7 (II 128, 9 L. = I 84, 22 Kw.)* ἄλλῃ κοιλίῃ 15 Περὶ ἄρθρων] *saepe* **4**. *Prognost. 20 (II 170, 1 L. = I 100, 21 Kw.)* ἀτρεκέως 20 λέγων] *l. c.*

3 τῇ A : τῷ HLMO 4 ἔφατ' *codd.* 10 τῷ] τὸ LMO : τοῦ H 13 ἀπέδειξαν· ἐποίησαν *Heringa 6* 17 φίλῃνος *codd.* μόνος *codd.* : *corr. Steph.* 20 λέγω LMO δύναται δὲ *Hipp.*

ἄλῃσιν ἡμέρῃσι τουτέων οὐδὲν ἀριθμεῖσθαι ἀτρεκέως", ἀντὶ τοῦ ἀκριβῶς. ὁμοίως κἀν τῷ Περὶ ἄρθρων, ὅταν λέγῃ· "κληῒς δὲ ⟨κατεαγεῖσα⟩, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐιητοτέρη ἐστίν· ἢν δὲ παραμηκέως, δυσιητοτέρη". νῦν γὰρ τὴν ῥαφανηδὸν διαφυὴν καὶ οἷον καυληδὸν τῇ σχιδακηδὸν ἀντιτάξας, τὸ ἀτρεκὲς ἐπὶ τοῦ διὰ τάχους καὶ πρὸς ἀκρίβειαν διῃρημένου ὀστέου τίθησιν, ὡς κἀν τῷ Περὶ ἀρχαίας ἰητρικῆς φησι· "χαλεπὸν δὲ μὴ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, τυγχάνειν τοῦ ἀτρεκεστάτου. πολλὰ δ' εἴδεα κατ' ἰητρικήν ἐστιν ἐς τοιαύτην ἀκριβείην". ὁμοίως κἀνταῦθα τῷ ἀληθεῖ ἀντιδιαστέλλων. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων·

ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο
πάντα μάλ' ἀτρεκέως ἀγορευέμεν.

καὶ πάλιν·

ἐγὼ ⟨τοι⟩ πάντα μάλ' ἀτρεκέως ἀγορεύσω.

καὶ Εὐριπίδης ἐν Κρησί φησιν· |

ἥκω ζαθέους ναοὺς προλιπών, 39
οὓς αὐθιγενὴς στεγανοὺς παρέχει
Χαλύβῳ πελέκει τμηθεῖσα δοκούς

2 Περὶ ἄρθρων] *14 (IV 118, 6 L. = II 134, 12 Kw.)* 7 Περὶ ἀρχαίας ἰητρικῆς] *12 (I 596, 5 L. = I 13, 2 Kw.)* 11 Ὅμηρος] Β *9* 15 α *179* : ξ *192* 16 Κρησί] *fr. 472, 4 N.*

1 ἄλλῃσιν LMO 2 *post* ἀκριβῶς *iter.* σπανιάκις δὲ ἐπὶ τοῦ ἀληθῶς LMO κληῒς δὲ κατεαγεῖσα ἢν *Hipp.* : καὶ εἰς δέην *codd.* 3 ἀποκλισθῇ HLMO 4 παραμ (*adscr. ambig. compend.*) *codd.* ῥαφανιδὸν *codd.* 5 διαφυὴν *Klein* : διαφυὰν *Steph.* : διαφορὰν *codd.* οἷον] οἱ HLMO τῇ σχιδακηδὸν *Klein* : τῇ σχιδακιδὸν *Steph.* : τῆς χιδακηδὸν *codd.* 6 τάχους] πάχους *Foes 107* 7 ἀρχαίας] αὐχείας LO : ἀκριβείας H : *lac. 6 litt.* M ἰατρικῆς HLMO δὲ *om.* CHLMO 8 μὴ *om. Hipp.* ἀκριβείας HLMO τυγχάνει HLMO τυγχάνειν αἰεὶ *Hipp.* 9 δ'] οὖν HLMO ἰητρικὴν ἐς τοιαύτην ἀκρίβειαν ἥκει *Hipp.* 15 τοι *ex Hom. addidi* πάντα] ταῦτα *utroque loco Hom.* 16 Κρησὶ *Bentley Works II 272* : κλεισὶ *codd.* 18 αὐθιγενὴς *Porphyrius De abst. 4, 19* : αὖθις εὖνις *codd.* στεγανοὺς *Porphyr.* : τετανοὺς *codd.* 19 χαλύβῳ *Porphyr.* : χαλύβεις (*compend.*) A : χαλ (*sequ. lac. 3 litt.*) HLMO : χαλαιποὺς L[1] : χαλεποὺς O[1] πελέκει *Porphyr.* : πελέκεις *codd.* τμηθεῖσα δοκοὺς *post* αὐθιγενὴς *codd.* : *transp. Wilamowitz Berliner Klassikertexte V 2, 77 n. 1*

καὶ ταυροδέτῳ κόλλῃ ζευχθεῖσ'
ἀτρεκεῖς ἁρμούς.

οὐκ εἶπεν ἀληθεῖς ἁρμούς, ἀλλ' ἀκριβεῖς. ἐν δὲ τῷ Περὶ τόπων τῶν κατὰ ἄνθρωπον καὶ ἐν Γυναικείων α' ἀντὶ τοῦ ἀληθῶς χρῆται τῇ λέξει.

5. ἀλλοφάσσοντες· ἀπορούμενοι καὶ τεθορυβημένοι, ὥς φησι Βακχεῖος. Ξενόκριτος δὲ ὁ Κῷός φησι παρὰ τοῖς Ἴωσι λέγεσθαι τὸ ἀλλοφάσσειν ἐπὶ τοῦ τῆς διανοίας παραφόρου, πιθανῶς ἱστορῶν παρὰ τὸ ἄλλο φάσκειν καὶ ἄλλο φρονεῖν.

6. ἀραιά· Βακχεῖος μὲν ἤκουσε τὰ λεπτά. τινὲς δὲ τὰ πυκνὰ καὶ στενά, ὡς παρ' Ὁμήρῳ·

ἀραιὴ δ' εἴσοδός ἐστι.

καί·

λάψαντες γλώσσῃσιν ἀραιῇσι μέλαν ὕδωρ.

ἀγνοοῦσι δὲ οἱ ταῦτα λέγοντες, ὅτι ἡ λέξις οὐχ ἓν δηλοῖ παρὰ |
40 τῷ ἀνδρί, ἀλλ' ἐνθάδε μὲν καὶ ἐν α' Ἐπιδημιῶν ἀραιὸν λέγει τὸ ἐκ διαστήματος καὶ μὴ ἐπιταχῦνον. καὶ ἐνθάδε μὲν ἄλγημα σημαίνει, ἐκεῖ δὲ πνεῦμα. ἐν δὲ τῷ Περὶ ἄρθρων φησὶν "ἀραιὰ ὀστᾶ" τὰ διεστῶτα ἀλλήλων. ἐν δὲ α' Γυναικείων κἀν τῷ Περὶ ἀρχαίης ἰητρικῆς φησι 'σώματα ἀραιὰ καὶ † εὔμενα'.

3 Περὶ τόπων τῶν κατὰ ἄνθρωπον] *an 3 (VI 280, 25 L.)?* 4 Γυναικείων α'] *an 62 (VIII 126, 15. 17 L.)?* **5**. *Prognost. 20 (II 170, 15 L. = I 101, 15 Kw.)* ἀλλοφάσσοντες *fragm.* **1** **6**. *Prorrhet. I 22 (V 516, 4 L.)* ἀραιά. 12 Ὁμήρῳ] κ *90* 15 Π *161* 17 α' Ἐπιδημιῶν] *1, 13 aeg. 1 (II 684, 7 L. = I 203, 8 Kw.)* 19 Περὶ ἄρθρων] *33 (IV 154, 3 L. = II 152, 12 Kw.)* 20 α' Γυναικείων] *1 (VIII 12, 14 L.)* 21 Περὶ ἀρχαίης ἰητρικῆς] *22 (I 632, 8 L. = I 29, 3 Kw.)*

1 ταυροδέτῳ *Porphyr.* : ταυρολέτῳ A : τορολέτῳ HLMO κόλλῃ ζευχθεῖσ' *Wilamowitz* : κολληθεὶς *codd.* 3 ἁρμὰς HLMO 4 τῶν] τὸν HLMO 8 λέγεσθαι R^{II} : λέγεται *codd.* 9 φάσκειν R^{II} : φάσσειν *codd.* ἀλλοφρονεῖν A : ἀλλοφωνεῖν HLMO 15 λάψαντες HO *aliqui Hom. codd. Zenodot* : λάμψαντες ALM : λάψοντες *plerique Hom. codd.* 19 ἄθρων A 22 εὔμενα *codd.* : εὔαιμα *Steph.* : εὖ μανὰ *Klein coll. De prisca med. 22 (I 626, 13 L. = I 27, 1 Kw.)* : μαλθακὰ *conicio coll. test. supra citatis*

7. ἄλις· ἀρκούντως.

8. ἀπολελαμμένοι· Βακχεῖος μὲν ἐν β΄ οἱ πλήρεις ὄντες, ὁ δ᾽ Ἐπικλῆς τροφῆς γέμοντες ἢ καθῃρημένοι ἢ ἀπειλημμένοι. φαίνεται δὲ ἡ λέξις οὐχ ἓν δηλοῦσα, ἀλλ᾽ ἐνθάδε μὲν καὶ ἐν α΄ Γυναικείων, ὅταν εἴπῃ· ʽἀπολελαμμέναι κοιλίαιʼ, ἐν ἴσῳ τῷ ἀπειλημμέναι καὶ ἐστεγνωμέναι. ἐν δὲ τῷ Περὶ ἄρθρων, ὅταν ἐπὶ τοῦ σπονδύλου τάττων εἴπῃ τὸ ʻʻἀπολελαμμένονʼʼ, ἀντὶ τοῦ ἀπειλημμένον καὶ ἐσφηνωμένον.

9. ἀχλυῶδες· ἀχλὺς λέγεται ποιά τις ἀμαύρωσις καὶ σκοτία περὶ τοὺς ὀφθαλμούς, ὡς καὶ Ὅμηρος ἐν τῇ ε΄ τῆς Ἰλιάδος φησίν·

ἀχλὺν δ᾽ αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν.

10. ἀσήμως ῥᾳστωνήσαντα· ἀντὶ τοῦ χωρὶς φανερᾶς ἐπικουρίας εἰς τὸ βέλτιον ἀποκλίναντα.

11. ἀσκαρίδες· λεπτὰ ἑλμίνθια, ὡς ἐπίπαν ἐν τοῖς τῶν ἀδηφάγων | παιδίων διαχωρήμασιν εὑρισκόμενα. οἱ γὰρ ἐλλο- **41**
γιμώτατοι τῶν συγγραφέων εἶδος αὐτὰ σκωλήκων ἱστοροῦσι τῶν ἐπὶ τοῖς σαπροῖς ὕδασιν εὑρισκομένων.

12. ἀπαρτί· ἀντὶ τοῦ ἀπηρτισμένως καὶ παντελείως καὶ ὁλοκλήρως·

13. αὐασμόν· ξηρασμόν. καὶ αὖον λέγεται τὸ ξηρόν, ὡς Ὅμηρος·

ξύλον [τ᾽]αὖον ὅσον τ᾽ ὀργυιήν.

7. *Prorrhet. I 36 (V 518, 13 L.)* ἄλις **8.** *Prorrhet. I 41 (V 520, 9 L.)* ἀπολελαμμέναι *Hes. I 249, 33* 5 α΄ Γυναικείων] *40 (VIII 96, 13 L.)* ἀπολελαμμένης 7 Περὶ ἄρθρων] *46 (IV 196, 16 L. = II 174, 13 Kw.)* **9.** *Prorrhet. I 46 (V 522, 8 L.)* ἀχλυῶδες *cf. Hes. I 344, 90* 10 τῇ ε΄ τῆς Ἰλιάδος] Ε *127* **10.** *Prorrhet. I 52 (V 524, 1 L.)* ἀσήμως ῥᾳστωνήσαντα **11.** *Prorrhet. I 138 (V 560, 2 L.)* ἀσκαρίδες *cf. Hes. I 299, 91; IV 39, 64* **12.** *De hum. 6 (V 484, 13 L.)* ἀπαρτί *cf. Hes. I 228, 15; 292, 30* **13.** *De hum. 4 (V 480, 10 L.)* αὐασμόν 22 Ὅμηρος] Ψ *327*

1 ἀρκούντως H : ἀρκοῦν *cett.* 2 β΄ *scripsi* : δυσὶν *codd.* 6 τῷ *prius*] τὸ A στεγνωμέναι HLMO 12 αὖ τοι ἀπ᾽ *Hom.* : αὖτ᾽ ἀπ᾽ *codd.* ἐπείη HLMO 14 ἀποκλίναντα *Steph.* : ἀποκλινάντων *codd.* 15 ἐν τοῖς] ἐν ἐπὶ τοῖς C : ἐπὶ K 19 ἄπαρτι H : ἄσπαρτι *cett.* 23 ξύλον αὖον ὅσον τ᾽ ὄργυι᾽ *Hom.*

14. αἴρεται· ἐπαίρεται.

15. ἀκτῇ· βοτάνης ὄνομα.

16. ἀέκουσιν· οὐ βούλονται.

17. ἀνθεῖν· ἀκμάζειν.

18. ἀρκτοῦρος· ὅν τινες ἀρκτοφύλακα προσαγορεύουσιν. οὖροι γὰρ οἱ φύλακες καλοῦνται. ἔστι δὲ οὗτος λαμπρὸς ἀστὴρ ἐν τῇ ζώνῃ τοῦ βοώτου κείμενος.

19. ἀρχαίη φύσις· ἡ πρὸ τοῦ νοσεῖν καὶ κατὰ φύσιν οὖσα.

20. ἁμαρτωλίην· τὴν τῶν ἁμαρτημάτων εἴδησιν.

21. ἀλύκη· ἀπορία μετὰ χάσμης. |

42 **22.** ἀφθώδεα· ἄφθα λέγεται ἐξανθημάτων εἶδος, περὶ τὰ τῶν παιδίων στόματα μάλιστα γινομένη.

23. ἄναυδος· ἄφωνος. αὐδὴ γὰρ ἡ φωνή. ὡς Ὅμηρός φησιν·

αὐδήεντα δ᾽ ἔθηκε θεὰ γλαυκῶπις Ἀθήνη.

24. ἀνεκάς· ἀντὶ τοῦ ἀνωτάτω. σύγκειται γὰρ ἐκ τοῦ ἄνω καὶ τοῦ ἑκάς. ὡς καὶ Ἀριστοφάνης ἐν Δαιδάλῳ φησίν·

ὁ μηχανοποιός, ὁπότε βούλει τὸν τροχὸν
ἐλᾶν ἀνεκάς, λέγε, χαῖρε φέγγος ἡλίου.

25. αἱμόκερχνα· τὰ μετὰ τοῦ δίαιμα εἶναι καὶ κατάξηρα. κέρχνον γὰρ ἔλεγον οἱ Ἀττικοὶ τὸ ξηρόν.

14. *De hum. 20 (V 502, 7 L.)* αἴρεται **15.** *De diaeta II 54 (VI 562, 5 L.)* ἀκτῆς **16.** *Epid. I 9 (II 658, 13 L.=I 196, 15 Kw.)* ἀέκουσιν **17.** *Epid. I 11 (II 676, 2 L.=I 201, 1 Kw.)* ἀνθεῖ **18.** *Epid. I 4 (II 616, 4 L.=I 184, 15 Kw.)* ἀρκτοῦρον **19.** *Epid. II 1, 6 (V 76, 9 L.)* ἀρχαίης φύσιος *Hes. I 294, 75* **20.** *Epid. II 1, 8 (V 80, 4 L.)* ἁμαρτωλίην **21.** *Epid. II 6, 23 (V 136, 18 L.)* ἀλύκης **22.** *Epid. III 3 (III 70, 6 L.=I 225, 2 Kw.)* ἀφθώδεα **23.** *Epid. III 17 aeg. 3 (III 114, 3. 9 L.=I 235, 13. 20 Kw.)* ἄναυδος *cf. Gal. XIX 79, 16 K. Hes. I 185, 52* Ὅμηρος] Τ *407* **24.** *Epid. V 2 (V 204, 12 L.)* ἂν ἑκάς C^{H} : *om. uulg. Gal. XIX 81, 1 K.* 17 Δαιδάλῳ] *fr. 188 K.* **25.** *Epid. IV 37 (V 180, 2 L.)* αἱμόκερχνα (*Heringa* : αἷμα καρτὰ C^{H} : ἐκέρχα *uulg.*)

2 ἀλκτῇ HLMO 10 ἀπούα HLMO 11 ἀφθώδα *codd.* : *corr. Eust.* 15 θεὰ λευκώλενος Ἥρη *Hom.* 19 ἐλᾶν *Bergk* : ἐᾶν *codd.* : ἱμᾶν *Kock* : ἕλκειν *Cobet Mnem. V (1856) 197* ἀνεκάς *Brunck* : κἀνεκάς *codd.* 20 αἱμοκέρχνοντα *codd.* : *corr. Steph.*

26. ἀκολαστότατον· ἀναιδέστατον.

27. ἀνάπλοον· τὸ κοῦφον καὶ ἔχον εὐρυχωρίαν τινά.

28. ἀπόξεα· τὰ ἀπόξυρα καὶ ἀποκεκομμένα λέγεται τὰ ἐκ πλάτους εἰς στενὸν ἠγμένα. |

29. ἀκμὴ πάθους· ἡ τῶν τὸ μέγεθος δηλούντων ση- **43**
μείων παρουσία.

30. ἀπαυδῆσαι· οἷον ἄφωνον γενέσθαι.

31. ἀμφιδέξιος· Βακχεῖός φησιν ἀμφοτεροδέξιος, ὡς ἀμφήκης ὁ ἀμφοτέρωθεν ἠκονημένος. σαφὲς δ' αὐτὸ ποιεῖ Εὐριπίδης ἐν Ἱππολύτῳ λέγων· "ἀμφιδέξιον σίδηρον", ἀντὶ τοῦ ἑκατέρωθεν τέμνοντα. ὁ δὲ Ἱπποκράτης οὐκ ἐπὶ τοῦ ἀμφήκους, ἀλλ' ἐπὶ τοῦ εὐχρήστου τίθεται κατὰ ἀμφότερα τὰ μέρη. διδάσκει δὲ καὶ ὁ ποιητής, τὸ μὴ καθ' ἓν μόνον μέρος εὔχρηστον περιδέξιον λέγων·

ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν.

ὁμοίως καὶ ὁ Ἱππῶναξ φησιν·

ἀμφιδέξιος γάρ εἰμι καὶ οὐχ ἁμαρτάνω κόπτων.

μέμνηται καὶ Ἡρόδοτος τῆς λέξεως. δεῖ οὖν ἀκούειν τοῦ Ἱπποκράτους λέγοντος, ὅτι γυνὴ κατ' ἀμφότερα τὰ μέρη τοῦ σώματος οὐκ ἔστιν εὔχρηστος. οὐ γὰρ εὔχρηστος ἐν τῷ ἐνεργεῖν ἐστι, καθάπερ πολλοὶ τῶν ἀνδρῶν. ὁ δὲ Γλαυκίας φησίν, ὅτι τὸ ἀμφιδέξιον οὕτω χρὴ ἀκούειν, ὡς εἰς τὰ δεξιὰ μέρη τῆς ὑστέρας οὐ γίνεται γυναικεῖον σῶμα διὰ τὸ τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς. πλὴν

26. *Epid. IV 15 (V 152, 19 L.)* ἀκόλαστον **27**. *ex aliquo Epidemiarum libro fluxisse uidetur Hes. I 180, 7* **28**. *Epid. VI 1, 10 (V 270, 9 L.)* ἀπόξεα (ἀποξῆ *C*[II] : ἀπόξηρα *cett.* : ἀπόξεα *Palladius 25, 26 Dietz Gal. XVII A 854, 13; 856, 5 K.*) **29**. *Aphor. 1, 9 (IV 464, 4 L.)* τὴν ἀκμὴν τῆς νούσου **30**. *Aphor. 1, 9 (IV 464, 4. 6 L.)* ἀπαυδήσει **31**. *Aphor. 7, 43 (IV 588, 14 L.)* ἀμφιδέξιος *Gal. XIX 78, 10 K.* 10 Ἱππολύτῳ] *780* 13 ὁ ποιητής] Φ *163* 16 Ἱππῶναξ] *fr. 83, 2 B.* 18 Ἡρόδοτος] *V 92, 5* 23 *cf. Aphor. 5, 48 (IV 550, 1 L.)*

3 ἀπόξυρα *Steph.* : ἀπόξηρα *codd.* λέγεται C : λέγων *cett.* 14 περιδέξιον *Steph.* : ἀμφιδέξιον *codd.* 15 ἦεν AK[1] : εἶεν KHLMO 16 ἱππόναξ M : ἱππάναξ *cett.* 19 ἱπποκράτου A 20 οὐ *Steph.* : ἡ *codd.*

οὐκ ὀρθῶς ἀπεφήνατο. πῶς γὰρ ἦν δίδυμα ἢ τρίδυμα γεννᾶν τὴν γυναῖκα; |

44 32. ἀμόργης· ὡς ἐπίπαν ἡ ὑποστάθμη τοῦ ἐλαίου. εἴρηται δὲ οὕτω καὶ ὁ ὀρός.

33. ἀμαλδύνεται· ἀφανίζεται καὶ ἀμαυροῦται, ὡς ἐν β´ Γυναικείων φησίν· 'ὄμματ' ἀμαλδύνεται'.

34. ἁρμῷ· ἡσυχῇ, μικρῷ. ὡς καὶ Φερεκράτης ἐν Μεταλλεῦσιν.

35. ἀρυσθέντι· ἀντληθέντι.

36. ἀπαυρίσκεται· ἀπολαύεται.

37. ἀσκαρίζει· ἀντὶ τοῦ σκαρίζει. ὡς ἀσταφὶς καὶ σταφίς, ἄσταχυς καὶ στάχυς.

38. ἀτεράμνοις· δυσμεταβλήτοις.

39. ἀναλδέες· ἀναυξεῖς.

40. ἀναλκές· ἔνιοι μὲν τὸ ἄνανδρον καὶ ἀδύνατον. βέλτιον δέ ἐστιν ἀκούειν τὸ ἀβοήθητον. ἀλκὴ γὰρ παρ' αὐτῷ λέγεται ἡ βοήθεια.

41. ἀρή· ἡ βλάβη. |

45 42. ἀργά· ἀγύμναστα ἢ λευκά.

43. ἀήρ· τετραχῶς λέγεται· ὅ τε κοινῶς φαινόμενος καὶ λεγόμενος. ἥ τε ὁμίχλη, καθ' ὃ λέγεται παρ' Ὁμήρῳ·

32. *Aphor. 7, 45 (IV 590, 6 L.)* ἀμόργη **33**. *De genit. 2 (VII 472, 6 L.)* ἀμαλδύνεται *Gal. XIX 76, 13 L.* β´ Γυναικείων] *201 (VIII 384, 3 L.)* **34**. *De nat. pueri 15 (VII 494, 1 L.)* ἡσυχῇ 8 Μεταλλεῦσιν] *fr. 111 K.* **35**. *De nat. pueri 25 (VII 526, 2 L.)* ἀρυσθέντι **36**. *De nat. pueri 26 (VII 528, 10 L.)* ἀπαυρίσκεται **37**. *De nat. pueri 30 (VII 534, 17 L.)* ἀσκαρίζει **38**. *De a. a. l. 1 (II 12, 16 L. = I 34, 1 Kw.)* ἀτεράμνοισιν **39**. *De a. a. l. 15 (II 60, 18 L. = I 57, 7 Kw.)* ἀναλδέες (ἀναλθέες *codd.*) *Gal. XIX 79, 8 K. Hes. I 176, 4.* **40**. *De a. a. l. 16 (II 64, 5 L. = I 58, 12 Kw.)* ἀναλκές *cf. Hes. I 176, 13. 14.* **41**. *e libro De a. a. l. fluxisse uidetur cf. Hes. I 268, 24.* **42**. *De a. a. l. 19 (II 72, 14 L. = I 62, 12 Kw.)* ἄναρθρα (ἄρθρα *codd.* : inarticulate *uersio lat.*) **43**. *De flat. passim* 21 Ὁμήρῳ] ι *144.*

5 ἀμαυροῦται CK : ἀφαυροῦται *cett.* 7 μικρῷ *om.* HLMO *fort. recte* 10 ἀπολαύεται *Heringa 11* : ἀπολαύει *Buttman Lexilogus I 79 n. 3* : ἀπολύεται *codd.* 16 *a uoce* ἀλκὴ *nouam denotant glossam* HLMO 18 ἀρή *scripsi* : ἀρά *M. Schmidt ad Hes. l. c.* : ἀράβη *codd.*

ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ᾽ ἦν· οὐδὲ σελήνη
οὐρανόθεν προὔφαινεν.

καὶ τὸ ἐν ἡμῖν δὲ πνεῦμα. καὶ ἡ δι᾽ ἕδρας δυσώδης πνοή.

44. ἀναΐσσοντας· ἀνορμῶντας· ἀΐσσειν γὰρ τὸ ὁρμᾶν λέγεται.

45. ἀλαζόνες· εἴρηται παρὰ τὸ ἀπὸ ἄλης ζῆν. ἄλη δὲ ἡ πλάνη. καὶ ἀλήτην τὸν πλανήτην. λέγονται δ᾽ οὕτω καὶ οἱ ψεῦσται.

46. Ἀνταῖον θεόν· τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἀνθρώποις. ἀνταῖον δ᾽ ἐκάλουν οἱ παλαιοὶ τὸν † σώφρονα, ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμήστρᾳ λέγων·

τὸν δὲ Ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε |
καὶ δεῖμα προσπνέοντ᾽ ἀπ᾽ Ἀνταίας θεοῦ. 46

47. ἀλάστορες· Βακχεῖος μὲν ἐν πρώτῳ φονεῖς φησιν † ἐκ τῆς ἐν Εὐριπίδου Μελανίππης λέγοντος ἴσως †·

† ἀλάστορας οὐκ ἐτόλμησε κτανεῖν.

ἔνιοι δὲ τοὺς ἀνόσιόν τι καὶ μιαρὸν εἰργασμένους, κἂν μὴ ὦσι φονεῖς, οἷον ἄληστά τινα καθ᾽ ὁδοὺς διαπραττόμενοι παρὰ τὸ ἀλιτεῖν καλοῦνται, ὅπερ ἐστὶν ἁμαρτεῖν.

44. *De morbo sacro 1 (VI 354, 7 L.)* ἀναΐσσοντας *cf. Hes. I 87, 31. 32* **45.** *De morbo sacro 1 (VI 354, 14 L.)* ἀλαζόνες *cf. Hes. I 112, 31; 120, 54* **46.** *De morbo sacro 1 (VI 360, 14 L.)* ⟨τὸν Ἀνταῖον *scil.* θεόν⟩ *suppl. Regenbogen, Symb. Hipp. 9 sqq.* 11 Κλυταιμήστρᾳ] *fr. 311 N.* **47.** *De morbo sacro 1 (VI 362, 9 L.)* ἀλάστορας *cf. Gal. XIX 74, 6 K.* 15 Μελανίππης] *fr. 513 N.*

1 περὶ *Hom.* : παρὰ *codd.* βαθεῖ᾽ ἦν *Hom.* : βαθείην ALMO : βαθείη H 2 προὔφαινε *Hom.* 4 ἀναΐσσοντος· ἀνορμῶντος *codd.* : *corr. Foes 46* 6 ἀπὸ *om.* HLMO ἄλη H 9 ἀντεόνθεον *codd.* : *corr. Welcker Griech. Tragöd. I 108* 10 ἀνθρώποις *Welcker* : ἄνθρωπον *codd.* ἀνταῖον *Welcker* : ἀντέον A : ἀντίον HLMO 11 σώφρονα] ὁλοόφρονα *coni. Welcker* *ante* σοφοκλῆς *add.* ὁ HLMO κλυταιμνήστρᾳ *codd.* : *correxi* 12 *uersus corrupti uidentur; quae uiri docti temptauerint uide apud Nauckium* ἄντεον *codd.* 13 προσπνέοντ᾽ ἀπ᾽ *Burges* : προσπέοντα *codd.* ἀντέας A : ἀντίας HLMO 15 *uerba* ἐκ . . . ἴσως *corrupta : correxerim uelut* ὡς καὶ Εὐριπίδης ἐν Μελανίππῃ λέγων φησί ἴσως *ad uersum traxerunt edd. plerique, sed* δείσας *Pflugk* 16 ἀλάστορ᾽ *Elmsley* 19 ἀλιτεῖν *Foes 26* : ἀλητεῖν *codd.* καλοῦνται *Klein Neue Jahrb. LXXXIX (1864) 287* : καὶ αὐτοὶ *codd.*

48. αἰόνησις· κατάντλησις. Βακχεῖος δέ φησι πρόσκλυσις.

49. αἰθόλικες· αἱ περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος γινόμεναι φλύκταιναι, εἴτε ὑπὸ πυρὸς ἢ ἄλλης αἰτίας, ἀπὸ τοῦ αἴθειν ὠνομασμέναι. ἄλλοι δὲ αἰθόλικας εἶπον τὰ στρογγυλούμενα κατὰ τὴν ἐπιφάνειαν φύματα. ταῦτα δὲ ὑπὸ θερμοῦ μὲν γίνεται, ὑπὸ ψυχροῦ δὲ ἀποκρούεται. τοῦτο δὲ Ἱπποκράτης οὐ βούλεται λέγειν. τὸ γὰρ θερμὸν οὐ γίνεται στρογγύλον, ἂν μὴ ἄγαν ἐκζέσαν ᾖ· κἂν τοιοῦτον ᾖ, οὐ γίνεται στρογγύλον. ἀλλὰ μᾶλλον σκληρύνει. ἔνιοι δὲ εἶπον τὰς κατὰ
47 τὴν ἐπιφάνειαν ἐκζέσεις, αἳ δὴ | ὡς ἐπίπαν στρογγυλοῦνται. Γλαυκίας μέντοι γε ἀγνοήσας οὐκ ὀλίγα γέγραφεν, λέγων αἰθόλικας εἶναι τὰ ἐν ταῖς θερμολουσίαις ἐπανιστάμενα ἐρυθήματα.

50. ἄλητον· ἄλευρον.

51. ἀλέξασθαι· βοηθῆσαι. ὅθεν καὶ τὸ ἀλεξιφάρμακον.

52. ἄρδει· βρέχει.

53. ἀνακῶς· ἐπιμελῶς καὶ πεφυλαγμένως. ἔστι δὲ ἡ λέξις Δωρική.

54. ἀρροίη· ἀρρωστία.

55. ἀπεσυριγγώθη· ἀπεφυσήθη. καθάπερ αἱ πνευματούμεναι σύριγγες.

56. ἄργεμον· πάθος τι περὶ τοὺς ὀφθαλμοὺς λευκωματῶδες, ὃ δὴ ἐκ τῆς παρεπομένης λευκότητος ὠνομάσθη.

48. *De hum. usu 1 (VI 118, 6 L.)* αἰόνησις **49**. *De hum. usu 6 (VI 130, 6 L.)* αἰθόλικας (θολίκας *uel sim. codd.*) *cf. Gal. XIX 71, 11 K. Hes. I 76, 71.* **50**. *De hum. usu 5 (VI 130, 1 L.)* ἄλητον *Hes. I 120, 58* **51**. *e libro deperdito De sanitate fluxisse uidetur cf. Gal. XIX 74, 15 K.* **52**. *De loc. in hom. 1 (VI 276, 13 L.)* ἄρδει **53**. *De carn. 19 (VIII 614, 6 L.)* ἀνακῶς *cf. Gal. XIX 79, 6 K. Hes. I 175, 93* **54**. *De loc. in hom. 47 (VI 348, 4 L.)* ἀρροίην **55**. *De loc. in hom. 12 (VI 296, 20 L.)* ἀποσυριγγωθῇ **56**. *De loc. in hom. 13 (VI 302, 16 L.)* ἄργεμον *cf. Hes. I 272, 28*

1 πρόσκλυσις *Steph.* : πρόσκλησις A : πρόκλησις HLMO 3 περὶ] παρὰ HLMO 10 σκληρύνει . . . 12 γέγραφεν *om.* HLMO 13 ἐρυθήματα] ἐκθύματα *coni. Foes 10* 18 περιφυλαγμένως *codd.* : *corr. Klein*

57. ἀψυχέειν· λειποθυμεῖν.

58. ἀορτέων· Βακχεῖος μὲν ἐν τῇ τρίτῃ φησὶν ἀρτηριῶν κοινῶς. Ἐπικλῆς δὲ καὶ Λύκος ὁ Νεαπολίτης τὰ ἐν τῷ πνεύμονι καὶ τῇ τραχείᾳ ἀρτηρίᾳ βρόγχιά φησιν οὕτω καλεῖσθαι. βέλτιον δέ ἐστιν ἀρτηρίας ἀκούειν, ὡς Βακχεῖος
εἶπεν, οἷον | ἀεροτηρίας τινὰς οὔσας κατ᾿ ἐθνικὴν στοιχείων 48
ἐναλλαγὴν οὕτως ὠνομάσθαι φησίν.

59. ἄρθρα· ἰδίως τὰς συμβολὰς τῶν ὀστῶν ἄρθρα καλεῖ, δι᾿ ὧν φησιν· ‛αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά. ὁκόσα γὰρ ὀστέοισι ξυμβάλλουσι, πάντα ἄρθρα ποιέουσι᾿. ποτὲ δ᾿ ἑκάτερον μέρος ὀστέου τὸ μέλλον συμβάλλεσθαι, ὅταν λέγῃ· ‛ἐν τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι καλεόμεναι᾿.

60. ἀπτίστων· ἀλεπίστων. πτίσσειν γὰρ λέγεται τὸ λεπίζειν καὶ κόπτειν.

61. ἄραδον· ταραχώδη κίνησιν καὶ σάλον.

62. ἀσκητέον· ἀθλητέον. τοὺς γὰρ ἀθλητὰς ἀσκητὰς οἱ Ἀττικοὶ καλοῦσι.

63. ἀκέσιας· τὰς ἰάσεις. καὶ ἀκεστὰ τὰ ἰάσιμα. καὶ οἱ Ἀττικοὶ τὰς ῥαφίδας ἀκεστρίας καλοῦσι, παρὰ τὸ ἀκεῖσθαι καὶ ὑγιῆ ποιεῖν τὰ ἱμάτια.

64. ἀδιαρροίη· ἡ τῶν διαρρεόντων παντελὴς ἐποχή.

65. ἀγαθῶς· συμφερόντως.

57. *De morbis II 5 (VII 12, 23 L.)* ἀψυχέει *Gal. XIX 87, 13 K.* **58.** *De loc. in hom. 14 (VI 306, 9 L.)* ἀορτέων **59.** *De loc. in hom. 6 (VI 288, 5 sqq. L.)* ἄρθρα *fragm.* **68** 9 φησὶν] *l. c.* 11 λέγῃ] *l. c.* **60.** *De prisc. med. 14 (I 600, 8 L. = I 15, 1 Kw.)* ἀπτίστων **61.** *De prisc. med. 15 (I 606, 5 L. = I 17, 15 Kw.)* ἄραδον **62.** *e libro De prisc. med. fluxisse uidetur cf. Hes. I 299, 6* **63.** *De arte 9 (VI 16, 11 L. = 48, 19 G.)* ἀκέσιας **64.** *e libro De arte (fort. cap. 12) fluxisse uidetur* **65.** *De med. off. 4 (III 288, 3 L. = II 33, 9 Kw.)* ἀγαθῶς *fragm.* **63**

2 ἀορτέων] ἀρτίων HLMO ἀρτηριῶν *Steph.* : ἀρτερίων *codd.* 4 βρόχια *codd.* : *corr. Steph.* φασὶν *a Steph. edd.* 5 ἀρτηρίας] ἀπορίας HLMO 6 *ante* οἷον *add.* αὐτὰς γὰρ *Klein* 9 ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ συμβάλλουσι *Hipp.* 11 *post* ἐν *add.* δὲ *Hipp.* 12 ἰχίοισιν LMO εἰσὶν HLMO *Hipp.* : ἐστὶν A καλεόμεναι A : καλούμεναι HLMO : καλεύμεναι *Hipp. codd.* 16 *ante* ἀσκητὰς *add.* καὶ *Herbst Galeni de attic. stud. 89*

66. ἀθέλγηται· Βακχεῖός φησι θηλάζηται ἢ ἐπισπᾶται, Ἐπικλῆς δὲ ἐκπιέζηται καὶ ἐκθλίβηται, ὡς καὶ Νίκανδρος ἐξηγεῖται.|

49 67. ἀναλελάφθαι· ἀνειλῆφθαι.

68. ἅλις· Βακχεῖος ἐν β΄ ἀρκούντως, ἱκανῶς. ὡς καὶ Ὅμηρος λέγων·

ἀφνειὸς βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι.

69. ἀνοκώχησις· Βακχεῖος ἐν α΄ φησὶ σύμπτωσις. Γλαυκίας δὲ ἀναπίεσις καὶ ἀνοχή, οὐ κατὰ τρόπον, ὡς οἶμαι, ἱστάμενος. τὰς γάρ τοι ναῦς, ὁπόταν ἐπὶ μετεώρου σαλεύωνται, ἀνοκωχεῖσθαι λέγομεν, ὅπερ ἐστὶν ἄνω χωρεῖν. ὁ μέντοι Ἐπικλῆς φησιν ἀνοκωχεῖν τὸ συμπεπτωκέναι, συναμαρτάνων τῷ Βακχείῳ. σαφῶς δὲ ὁ Ἱπποκράτης ἐν τῷ Περὶ ἄρθρων φησὶν οὕτως λέγων· 'ἐντιθέναι δὲ εἰς τὴν μασχάλην καθαρὸν ἔριον ἑλίσσοντα καὶ ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ᾖ στήριγμα ἐν τῇ ἐπιδέσει, ἀνοκωχῇ δὲ τὸ ἄρθρον', τουτέστιν ἀνέχηται καὶ ἀνακρατῆται.

70. αἰών· ὁ νωτιαῖος μυελός. φησὶ γάρ· 'ἐσφακελίσθη τὸν αἰῶνα'. κἀν τῷ Περὶ βελῶν καὶ τραυμάτων φησί· 'τὸν αἰῶνα νοσήσας τις ἑβδομαῖος ἀπέθανεν'. καὶ Πίνδαρος ἐν Ὑπορχήμασι λέγων· |

66. *De med. off. 11 (III 308, 1 L. = II 37, 15 Kw.)* ἐξαθέλγηται 2 Νίκανδρος] *fr. 124 Schn.* **67**. *De med. off. 11 (III 308, 6 L. = II 38, 2 Kw.)* ἀναλελάφθαι *fragm.* **70** *Hes. I 176, 7* **68**. *e Vectiarii parte deperdita fluxisse uidetur* 6 Ὅμηρος] Ξ *122* **69**. *e Vectiarii parte deperdita fluxisse uidetur cf. fragm.* **83** *cf. Gal. XIX 79, 7 K. Hes. I 175, 95 sqq.* 14 Περὶ ἄρθρων] *9 (IV 100, 10 L. = II 125, 1 Kw.)* **70**. *e Vectiarii parte deperdita et lemma et uerba* ἐσφακελίσθη τὸν αἰῶνα *fluxisse uidentur Hes. I 90, 16* 21 Ὑπορχήμασι] *fr. 111 Schroeder*

4 ἀναλέλαφθαι H : ἀναλέλαμφθαι *cett.* 6 λέγων *om.* HLMO 7 ἀφνειὸν *plerique Hom. codd.* 8 ἀνοκώχησις *scripsi* : ἀνακώχησις *codd.* 9 ἀνάπισσις A τρόπιν H : τρόπην LMO 11 σαλεύονται HLMO ἀνακωχεῖσθαι *codd.* 12 ἀνακωχεῖν *Klein* : ἀνακωχὴν *codd.* 14 ὑποτιθέναι *Hipp.* μασχάλην εἴριον μαλθακὸν καθαρὸν συνελίσσοντα, ἐκπλήρωμα *Hipp.* 16 ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ᾖ *Hipp.* ἀνακωχῇ *codd.* 21 ὑπορχήματι *Steph.* (*error typothetae pro* ὑπορχήμασι?) : ὑποχρήμασι *codd.*

ἐνέπισε κεκραμένα ἐν αἵματι, 50
πολλὰ δ᾽ἔμβαλ᾽ ἕλκεα νωμῶν
τραχὺ ῥόπαλον, τέλος δὲ ἀείρας
† πρὸς στιβαρὰς σπάραξε πλευράς,
αἰὼν δὲ δι᾽ ὀστέων ἐραίσθη.

71. ἄχη· λύπας.

72. ἀσήμοις τόποις· κατὰ ἀντίφρασιν πολυσήμοις, ὡς καὶ ἀγαλάκτοις πολυγαλάκτοις καὶ ἀξύλῳ ὕλῃ. πολυσήμους δὲ λέγει τόπους ἐπί τε φλεβῶν καὶ ἀρτηριῶν καὶ νεύρων.

73. αὐτίκα· Βακχεῖος ἐν α´ φησὶν ἤδη, Ἐπικλῆς δ᾽ εὐθέως. ἔστι δέ που καὶ ἀντὶ τοῦ μετὰ ταῦτα λεγομένη ἡ λέξις.

74. ἀποκεκάρπωκεν· ἀποβεβλάστηκεν, ἀπογεγέννηκεν.

75. ἀποσυριγγώσασα τὴν χολήν· οἷον ἀποφυσήσασα.

76. ἄχνη ὀθονίου· τὸ παρ᾽ ἡμῖν λεγόμενον ξύσμα, ἐξ οὗ γίνεται ὁ καλούμενος μοτός [ξυσμός].

77. ἄγχιστα· ἔστι μὲν ἔγγιστα. αὐτὸς δὲ ἀντὶ τοῦ μάλιστα τίθησι τὴν λέξιν.

78. ἀναγαλλίς· βοτάνης ὄνομα. |

79. ἅρμη· πᾶσα σύνοδος τραυμάτων. εἴρηται δὲ παρὰ τὸ 51
ἡρμόσθαι.

71.—73. *e Vectiarii parte deperdita fluxisse uidentur* 72. *cf. Hes. I 221, 42* 74. *De oss. nat. 17 (IX 192, 12 L.)* ἀποκεκάρπωκεν *cf. Gal. XIX 84, 1 K.* 75. *De oss. nat. 18 (IX 194, 12 L.)* ἀποσυριγγώσασα τὴν χολήν 76. *Vectiar. 2 (IV 346, 1 L. = II 247, 20 Kw.)* ἄχνην ὀθονίου *cf. fragm.* 88 *cf. Hes. I 345, 97* 77. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat cf. fragm.* 87 78. *De ulcer. 17 (VI 422, 10 L.)* ἀναγαλλίς 79. *e libro deperdito De uuln. et tel. fluxisse uidetur cf. Hes. I 284, 13*

1 κεκραμμένα HLMO : καὶ κραμμένα A 2 πολλὰ δ᾽ἕλκεα πλευρὰς ἔμβαλλεν ὦμον *codd.* : *corr. Schroeder Vulcanium secutus* 3 τραχυρώπαλον *codd.* : *corr. Steph.* ἀείραις *Boeckh Schroeder* 4 σπάραξε *Boeckh* : ἐσπάραξε *Heringa* : ἀπάραξε AL : ἐπάραξε H : ἐκπάραξε M : ἐσπάραξε O 5 ἐρραίσθη *codd.* : *corr. Christ* 9 τόποις HMO[1] : τόμους LO : τό //μους(?) A 11 που] τις HLMO 13 ἀπογεγένηκεν *codd.* 16 μοτός, ὁ καλούμενος *codd.* : *transp. Klein* ξυσμός *del. Klein* 19 ἄναλλις *codd.* : *corr. Eust.* 20 *post* δὲ *add.* καὶ HLMO

80. αἰάζειν· θρηνεῖν.

81. ἄλθεσθαι· ὑγιάζεσθαι.

82. ἀγκυρομήλη· τὸ ἄγκιστρον.

83. ἀψόρροον· τὸ εἰς τοὐπίσω ῥέον.

84. ἀναχελύσσεται· ἀναπνεῖ.

85. ἀνδρεῖος οἶνος· ἢ ὁ εὔτονος ἢ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου, ὡς Λέσβιος ὁ ἀπὸ Λέσβου. [οὕτω καὶ Ἄνδριος ὁ ἀπὸ Ἄνδρου.]

86. ἀπορέγει· ἀποτείνει.

87. ἀλλόκοτον· ἐξηλλαγμένον.

88. ἀκάματος· ἀκοπίατος.

89. ἀναψύχειν· γυμνοῦν.

90. ἀποτανύσας· ἐκτείνας.

91. ἀνάθλασις· ἔκθλιψις.

92. ἀπολύσιας· ἢ τὰς τῶν ἐπιδέσμων ἀνέσεις ἢ τὰς τῶν ἄρθρων ἀπολύσεις.

93. ἀσηρόν· ἄσης ποιητικόν. |

52 94. ἀρκέει· βοηθεῖ.

95. ἀποργέστερον· ἀπηνέστερον.

96. ἀπαιωρέεται· ἀποκρέμαται.

80. **85**. *e libro deperdito De uuln. et tel. fluxisse uidentur* **80**. *cf. Hes. I 66, 55 sq.* **82**. *Gal. XIX 69, 6 K.* **83**. *Gal. XIX 87, 12 K.* **86**. *De fract. 1 (III 412, 6 L. = II 46, 8 Kw.)* ἀπορέγει *cf. Gal. XIX 84, 13 K.* **87**. *De fract. 1 (III 414, 9 L. = II 47, 1 Kw.)* ἀλλόκοτον *cf. Hes. I 128, 2* **88**. *De fract. 3 (III 426, 15 L. = II 51, 7 Kw.)* ἀκάματος **89**. *De fract. 27 (III 508, 7 L. = II 87, 4 Kw.)* ἀναψύχειν **90**. *De fract. 8 (III 444, 1 L. = II 58, 19 Kw.)* ἀποτανύσας **91**. *e libro De fract. fluxisse uidetur* **92**. *De fract. 10 (III 452, 4 L. = II 63, 1 Kw.)* ἀπολυσίων *cf. Gal. XIX 119, 9 K.*
93. *De fract. 22 (III 490, 9 L. = II 79, 8 Kw.)* ἀσηρόν **94**. *De fract. 13 (III 466, 6 L. = II 69, 1 Kw.)* ἀρκέει *cf. Hes. I 282, 76*
95. *De fract. 16 (III 476, 5 L. = II 73, 14 Kw.)* ἀστεργέστερον (?)
96. *De fract. 23 (III 492, 7 L. = II 80, 3 Kw.)* ἀπαιωρῆται *fragm.* **71**

3 ἀγκυρομηλ' *codd.* ἄγγυστρον HLMO 5 ἀναχελεύσεται *codd.* : *corr.* *Stephanus Thes. I 2, 626* 6 ὁ *posterius om.* AC 7 οὕτω . . . Ἄνδρου *del. Klein* 15 ἢ τὰς τῶν ἄρθρων ἀπολύσεις *ante* ἢ τὰς (τῶν *om.*) ἐπιδέσμων ἀνέσεις HLMO 20 ἀποκρέσταστα LMO

97. ἀτρεμέοντα· ἠρεμοῦντα.

98. ἀποπαλήσει· σαλεύσει καὶ σφοδρᾷ κινήσει.

99. ἀποκαυλισθῇ· οἷον καυληδὸν κλασθῇ.

100. ἀναγνῶσαι· μεταπεῖσαι, μεταδιδάξαι.

101. ἀνάγκη· Βακχεῖος ἐν τρίτῳ ἀντὶ τῆς βίας φησὶ κεῖσθαι τὴν λέξιν.

102. ἀμφισφάλλουσαι· περισφάλλουσαι.

103. ἄμβην· Στράτων μὲν ὁ Ἐρασιστράτειός φησι τὴν ἄμβην μοχλὸν σφαιροειδῆ εἶναι. Φιλῖνος δὲ ξυστροειδῆ ὑπεροχήν. Ἀσκλατίων δὲ γωνίαν. Ζήνων δ᾽ ὁ Ἡροφίλειος ὑπεροχὴν τῶν θυρῶν μανδάλῳ ὁμοίαν. Ἀπολλώνιος δ᾽ ὁ πρεσβύτερος ὑπεροχὴν στρογγύλην σφαίρᾳ ὁμοίαν. Μενεσθεὺς δὲ ὁ Στρατονικεὺς τὴν ἔρεισιν. Ἐρασίστρατος ὑπεροχὴν ἐξ ἐπαγωγῆς ἀπὸ τοῦ ὑποκάτω μέρους καὶ περιφεροῦς. Διοκλῆς δ᾽ ἐν τῷ Κατ᾽ ἰητρεῖον ὑπόκοιλόν τινα χώραν. Ἀπολλώνιος δ᾽ ὁ Μεμφίτης ἐν τῷ Περὶ ἄρθρων ὑπεροχὴν παρὰ τὸ λοιπὸν ξύλον. Ἀπολλώνιος δ᾽ ὁ Θὴρ ἐξοχήν. ὁ | δὲ Κιτιεὺς Ἀπολ- **53**
λώνιος ἐν τῷ Περὶ ἄρθρων σιγματοειδῆ ἐκκοπήν. Περιγένης δὲ ὁ ὀργανικὸς ἐν τρίτῳ Μηχανικῶν μοχλῷ ὅμοιόν φησι τὸ σχῆμα ἔχειν τὴν ἄμβην, οὗ τὸ μὲν πλάτος δακτύλου ἑνός ἐστι, τὸ δὲ μῆκος ἡμίσους. ἡμεῖς δὲ τούτους πάντας παραιτησάμενοι Βακχείῳ συγκατατιθέμεθα, ὃς ἐν τῷ τρίτῳ φησὶν ἄμβην καλεῖσθαι τὴν ὀφρυώδη ἐπανάστασιν. καὶ γὰρ οἱ Ῥό-

97. *De fract. 23 (III 492, 14 L. = II 80, 12 Kw.)* ἀτρεμέοντα **98.** *De fract. 42 (III 550, 7 L. = II 105, 7 Kw.)* ἐκπαλήσει **99.** *De fract. 45 (III 556, 13 L. = II 107, 19 Kw.)* ἀποκαυλισθῇ **100.** *De artic. 1 (IV 78, 13 L. = II 112, 3 Kw.)* ἀναγνῶσαι *Gal. XIX 79, 2 K.*
101. *De artic. 1 (IV 80, 18 L. = II 113, 7 Kw.)* ἀνάγκην *fragm.* **76** **102.** *De artic. 2 (IV 82, 15 L. = II 114, 8 Kw.)* ἀμφισφάλλουσαι (*B^{H}* : ἀμφιβάλλουσαι *$M^{H}V^{H}$*) *fragm.* **77** **103.** *De artic. 7 (IV 88, 19 L. = II 118, 8 Kw.)* ἄμβην *Gal. XIX 77, 7 K.* 14 Διοκλῆς ἐν τῷ Κατ᾽ ἰητρεῖον] *fr. 186 Wellm.* 17 Ἀπολλώνιος ἐν τῷ Περὶ ἄρθρων] *cf. 7, 3 sq. Schöne*

2 σφοδρᾷ *Foes 78* : σφόδρα *codd.* 3 κλασθῇ CH : κλαυσθῇ LMO : κολασθῇ A 4 ἀναγνῶσαι *scripsi* : ἀναγνῶναι *codd.* 7 ἀμφισφάλλουσαι *Klein* : ἀμφισβάλλουσαι ALMO : ἀμφιβάλλουσαι H 10 ἡροφίλιος *codd.* 12 σφαίρα AH[1] : σφαίραν HLMO 15 ἰητρίον A : ἰτρίον HLMO 17 κητιεὺς *codd.* 18 σιγμοειδῆ HLMO ἐγκοπὴν HLMO 21 τούτου A

διοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις. μέμνηται τῆς λέξεως καὶ Αἰσχύλος καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς Ἀττικαῖς λέξεσι. Ἐπιθέρσης δ' ἐν β' τῶν Λέξεων ἄμβωνά φησι χεῖλος εἶναι σκεύους καὶ τῆς ἀσπίδος τὸ πρὸς αὐτῇ τῇ ἴτυι. Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν Αὐτολύκῳ φησίν·

ἐπὶ καινοτέρας ἰδέας ἀσεβῶν βίον, ὦ μοχθηρός, ἔτριβες.
πῶς ὦ πολλῶν ⟨ἤδη⟩ λοπάδων τοὺς ἄμβωνας περιλείξας;

τουτέστι τὰ περὶ τοὺς ἄμβωνας χείλη. λέγεται δὲ οἷον ἀνάβη τις οὖσα. |

54 104 ἀγωνιστικόν· ὀχλικόν. καὶ γὰρ ὁ ἀγὼν ἀπὸ τῆς ὀχλήσεως.

105. ἀνακλισμοῦ· ἀνακλιντηρίου.

106. ἀπολιπόντα· διεστῶτα.

107. ἀγάλλεται· Βακχεῖος ἐν δευτέρῳ φησὶ τέρπεται, οὐκ ὀρθῶς. ἔστι γὰρ γαυριᾷ, ὡς καὶ Ὅμηρος·

μηδ' ἐπαγαλλόμενος πολέμῳ.

108. ἀμφώδοντα· τὰ ἄνωθεν καὶ κάτωθεν ὀδόντας ἔχοντα.

109. ἄκρην· ἄκρως ἔχουσαν.

110. ἀπὸ συρμαϊσμοῦ· συρμαΐα λέγεται ἡ ἐπιμήκης

2 Αἰσχύλος] *Cercyon. fr. 103 N.; Sisyph. fr. 231 N.* 3 Ἀττικαῖς λέξεσι] *fr. XXVIII N.* 5 Ἀριστοφάνης ἐν Αὐτολύκῳ] *immo Eupolis Autolyc. fr. 52 K.* **104**. *De artic. 70 (IV 288, 13 L. = II 225, 2 Kw.)* ἀγωνιστικόν **105**. *De artic. 7 (IV 92, 14 L. = II 120, 10 Kw.)* ἀνακλισμοῦ **106**. *De artic. 33 (IV 150, 6. 10 L. = II 151, 10. 15 Kw.)* ἀπολείποντα **107**. *De artic. 35 (IV 158, 11 L. = II 155, 6 Kw.)* ἀγάλλεται *Hes. I 12, 66* 16 Ὅμηρος] Π *91* **108**. *De artic. 8 (IV 96, 12 L. = II 122, 13 Kw.)* ἀμφώδοντα *cf. fragm.* **82** **109**. *De artic. 16 (IV 130, 8 L. = II 141, 11 Kw.)* ἄκρην **110**. *De artic. 40 (IV 174, 1 L. = II 162, 11 Kw.)* ἀπὸ συρμαϊσμοῦ

3 Ἐπιθέρσης *Meineke* : θέρσις *codd.* : Θέρσης *breuiorem figuram fort. Erot. maluit* 7 ἀσεβῶν βίον *Meineke* : ἀσεβῆ βίον *G. Hermann* : ἀσέβιον *codd.* ὦ *Bergk* : ὁ *codd.* 8 πῶς ὦ *Dindorf* : πόσω *codd.* ἤδη *add. Ael. Dion. fr. 44 Schw. Etym. Gen. s. u.* ἄμβων *(Reitzenstein Griech. Etym. 20, 39)* περιλήξας *codd.* 13 ἀνακλιτηρίου *codd.* : *corr. Steph. 609* 14 ἀπολιπόντως LMO 18 τὰ] τῆς LMO 19 *glossam om.* L ἄφην HO

ῥαφάνη, ἥν τινες μεθ᾽ ἅλμης ἐσθίοντες καθαίρονται. καὶ καλεῖται συρμαϊσμὸς ὁ τοιοῦτος τῆς καθάρσεως τρόπος.

111. ἀπόπτωσιν· τὴν τῶν ἐπιδέσμων ἄνεσιν.

112. ἀντικονταίνουσι· πρὸς τὸ ἐναντίον βιάζονται.

113. ἀπόπατοι· αἱ ἀφοδεύσεις.

114. ἀέτωμα· ἡ στεφάνη τοῦ δώματος.

115. ἀπὸ τόκου νοσημάτων· ἀπὸ γεννήσεώς φησι.

116. ἀλθέξεσι· θεραπείαις.

117. ἄνουδον· βαθμὸν καὶ οἷον οὐδόν, ἣν καὶ φλιὰν καλοῦμεν. |

118. ἀπομυλλήνῃ· τοῦτο γίνεται, ὅταν διαστροφὴ καὶ 55
οἷον σπάσμα περὶ τὴν γένυν μετὰ παρέσεως σχῇ, μάλιστα δ᾽ ἐκ πληγῆς.

119. ἀνήκεστον· ἀθεράπευτον, ἀνυπομόνητον.

120. ἀρβύλαι· ὑποδήματος εἶδος.

121. ἀνδάνει· ἀρέσκει.

122 ἀριθμούς· τὰ ὀνόματα οὕτω καλεῖ.

123. ἄκεσιν· ἴαμασιν.

124. ἀνάκεστον· ἀνίατον.

111. *e libro De artic. fluxisse uidetur* **112.** *e libro De artic. (fort. cap. 52 uel 58) fluxisse uidetur* **113.** *De artic. 48 (IV 212, 11 L. = II 182, 12 Kw.)* ἀπόπατος **114.** *De artic. 43 (IV 186, 4 L. = II 169, 13 Kw.)* ἀέτωμα *fragm.* **52** **115.** *De artic. 49 (IV 216, 13 L. = II 184, 12 Kw.)* ἀποτόκους νοσημάτων **116.** *De artic. 50 (IV 222, 8 L. = II 187, 16 Kw.)* τῇ ἀλθέξει *(uide app. Kuehleweinii)* **117.** *De artic. 78 (IV 312, 14 L. = II 237, 13 Kw.)* οὐδόν **118.** *De artic. 33 (IV 152, 1 L. = II 152, 2 Kw.)* ἀπομυλλαίνῃ **119.** *De artic. 58 (IV 252, 13 L. = II 205, 18 Kw.)* ἀνήκεστον **120.** *De artic. 62 (IV 268, 8 L. = II 214, 10 Kw.)* ἀρβύλαι *Hes. I 271, 4* **121.** *De uict. acut. I 2 (II 230, 1 L. = I 110, 14 Kw.)* ἀνδάνει *Hes. I 187, 99* **122.** *De uict. acut. I 1 (II 228, 1 L. = I 110, 9 Kw.)* ἀριθμούς **123.** *De uict. acut. I 1 (II 226, 2 L. = I 109, 14 Kw.)* ἄκεσιν **124.** *De uict. acut. I 11 (II 306, 12 L. = I 128, 18 Kw.)* ἀνήκεστοι *cf. Hes. I 199, 45: 205, 99*

1 ῥαφανῆς LO : ῥαφανίς HM 2 συρμαθισμός LMO 3 ἄνεσιν CH : ἄρεσιν *cett.* 4 ἀντικοταίνουσι *codd.* : *correxi* 9 ἄνουδον *scripsi* : ἄνοδον A : ἄνωδον HLMO 12 παρέσιος LMO 19 ἀνάκιστον HLMO

125. ἀκρόπλοα· τὰ ἐξ ἐπιπολῆς ἐμπλέοντα.

126. ἀφραίνοντος· ἀφρονοῦντος.

127. ἀεικές· αἰσχρόν, καταγέλαστον.

128. ἀναΐσσει· ἀνορμᾷ.

129. ἀείρειν· προσφέρειν.

130. ἀρτίως· ἀπηρτισμένως.

131. ἀχιλληΐδες· κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς.

132. ἀθέρα· τὰ ἄνω τῆς κριθῆς λεπτότατα.

133. ἀλυκτέει· οὐκ ἠρεμεῖ. |

56 134. ἄναλτον ἄλφιτον· τὸ μικρὸν καὶ ἀναυξές.

135. ἄρτον ἐγκρυφίαν· παρ' Ἀττικοῖς οὕτως ὀνομάζεται ὁ συντιθέμενος ἔκ τε φοινίκων λιπαρῶν καὶ ἀλεύρου καὶ ὕδατος. εἰκὸς δὲ λέγειν τὸν ἐν θερμοσποδιᾷ ἐγκρυβέντα ὀπτηθῆναι, ὃν ⟨Ῥωμαῖοι⟩ τοῦρταν καλοῦσι.

136. ἀνδράπαξ· βοτάνης ὄνομα.

137. ἀνάσσυτος· ἀνόρμητος.

138. ἄναυδος· ἄφωνος. αὐδὴ γὰρ ἡ φωνή.

139. ἄρδαλον· ῥύπον ἢ μολυσμόν. καὶ γὰρ τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται καὶ ἄρδαλος ἄνθρωπος ὁ μὴ

125. *De morb. I 14 (VI 164, 5 L.)* ἀκρόπλοα *Gal. XIX 73, 12 K.* **126**. *De morb. I 19 (VI 174, 13 L.)* ἀφρονέοντος (θ^{H}: φρονέοντος *uulg.*) **127**. *De uict. acut. I 11 (II 316, 9 L. = I 131, 6 Kw.)* ἀεικές **128**. *De morb. III 1 (VII 118, 8 L.)* ἀναΐσσει **129**. *De morb. III 4 (VII 122, 13 L.)* ἀείρειν *Hes. I 52, 5* **130**. *e libro De morb. III fluxisse uidetur* **131**. *De morb. III 17 (VII 156, 15 L.)* ἀχιλληΐδας Ἀριστοφάνης] *Eq. 819* ἀχιλλείων 8 Σοφοκλῆς] *Scyth. fr. 507 N.* ἀχιλλείων *cf. Hes. I 344, 83* **132**. *De morb. III 17 (VII 156, 16 L.)* ἀθέρα **133**. *De mul. aff. I 5 (VIII 30, 1 L.)* ἀλυκτέει **134**. *De mul. aff. I 11 (VIII 46, 19 L.)* ἄλφιτον . . . ἄναλτον *cf. Gal. XIX 79, 8. 11 K. cf. Hes. I 177, 21* **135**. *De mul. aff. 34 (VIII 80, 15 L.)* ἄρτον ἐγκρυφίην **136**. *De mul. aff. I 14 (VIII 52, 17 L.)* ἀνδραφάξιος **137**. *De mul. aff. II 124 (VIII 268, 1 L.)* ἀνάσσυτος **138**. *De mul. aff. II 151 (VIII 326, 14 L.)* ἄναυδος **139**. *e libro De mul. aff. fluxisse uidetur, cf. I 20 (VIII 58, 18 L.)* ἀρδαλώσας *Gal. XIX 85, 11 K. cf. Hes. I 275, 87. 90.*

1 ἀκρόπλουν HMO 14 λέγει HLMO 15 Ῥωμαῖοι *addidi* 18 *glossam om.* HLMO

καθαρῶς ζῶν. μέμνηται τῆς λέξεως καὶ Φερεκράτης ἐν Θαλάττῃ καὶ Φιλήμων ἐν Πανηγύρει.

140. ἀναίνονται· ἀπαρνοῦνται.

141. ἀγρησθῶσιν αἱ μῆτραι· τουτέστιν ἄγρας χρῄζουσιν,
ἀντὶ τοῦ συλλήψεως ἀπὸ τῆς ἐμμήνου καθάρσεως. οὕτω δὲ
ἀκουστέον | καὶ τὸ ὀδαξησθῶσι. πεποίηται δὲ ἀπὸ τῶν ἀγρευο- 57
μένων ζῴων.

142. ἄλφιτα προκώνια· τὰ γινόμενα ἐκ τῶν ἀφρύκτων κριθῶν οὕτως Ἀττικοὶ καλοῦσι.

143. ἀμφίδιον· τὸ πέριξ τοῦ τῆς μήτρας τραχήλου.

144. αἰολᾶται· πλανᾶται.

145. ἄγνου· λύγου. ἔστι δὲ ὄνομα φυτοῦ. ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς λέγων·

ἄγνου τε βρύα λευκὰ καὶ ἐμπρίοντ᾽ ὀνόγυρον.

146. ἀγλαΐζηται· καλλωπίζηται. καὶ ἀγλαὸν τὸ καλόν.

147. ἀρικύμων· μεγαλοκύμων.

148. ἀχώρ· ἐξανθήματος εἶδος, καθ᾽ ὃ συμβαίνει κολλώδη ὑγρασίαν καὶ οἷον πιτυρώδεις λεπίδας ἐπιφέρεσθαι. μάλιστα δὲ περὶ τὴν κεφαλὴν εἴωθε γίνεσθαι.

2 Θαλάττῃ] *fr.* 53 *K.* τὴν ἄρδαν Πανηγύρει] *fr.* 59 *K.* ἠρδάλωκε **140**. *De mul. aff. II 133 (VIII 282, 14 L.)* ἀναίνονται **141**. *De mul. aff. II 154 (VIII 328, 15 L.)* ἀγρησθῶσιν αἱ μῆτραι 6 ὀδαξησθῶσι] *hanc figuram apud Hipp. non repperi* **142**. *De mul. aff. II 110 (VIII 236, 12 L.)* ἄλφιτα προκώνια *Gal. XIX 133, 1 K.* **143**. *De mul. aff. I 57 (VIII 114, 15 L.)* ἀμφιδήιον **144**. *De mul. aff. II 174 (VIII 356, 2 L.)* αἰολᾶται *Gal. XIX 72, 10 K.* **145**. *De mul. aff. II 192 (VIII 374, 1 L.)* ἄγνου *cf. Hes. I 27, 59* 13 Θηριακοῖς] 71 **146**. *e libro De mul. aff. fluxisse uidetur, cf. II 188 (VIII 368, 13 L.)* ἀγλαΐζει **147**. *De steril. 219 (VIII 424, 11 L.)* ἀρικύμων **148**. *De alim. 20 (IX 104, 13 L.)* ἀχώρ

1 Φερεκράτης *Meineke Cur. crit. 41 sq.* : φερεκύδης *codd.* 8 ἀφρύκτων *Nauck Aristoph. Byz. fragm. 223* : φρυκτῶν *codd.* 11 αἰολᾶ HLMO 14 ἁγνῆς A καὶ *om.* A 17 κολλώδης H 18 ὑγρασία HMO 19 περὶ] παρὰ HLMO

ΑΡΧΗ ΤΟΥ Β

1. βιούμενον· βιοῦντα.

2. βαιόν· τὸ ὀλίγον. |

58 3. βοθρίοις· τοῖς ἐν τοῖς ὀφθαλμοῖς κοίλοις ἕλκεσι νῦν λέγει.

4. βόλβιτα· τὰ μικρὰ βόλβια

5. βρύχιον· τὸ οἱονεὶ βύθιον καὶ κατὰ βάθους κείμενον.

6. βηχίου· βοτάνης εἶδος. ὃ βηκίαν καὶ βήκιον καλοῦμεν.

7. βρυγμός· ἰδίωμα ποιοῦ ψόφου.

8. βλιχῶδες· οἱ δὲ γλισχρῶδες. Ἐπικλῆς μέν φησι τὸ λελιπασμένον μετὰ γλοιώδους ὑγρασίας ἀκαθάρτου, Εὐφορίων δὲ τὸ ἐκπεπιεσμένον καὶ κατάξηρον. Βακχεῖος δὲ καὶ Λυσίμαχος διὰ τοῦ π̄ γράφουσι πλιχῶδες, σημᾶναι θέλοντες τὸ ἐξεπτυγμένον.

9. βλακεύειν· ὀλιγωρεῖν. ἀλλά γε τὸ ἐπὶ πλεῖστον διατρίβειν οὕτως εἴρηται. ἔστι γὰρ εἶδος ἰχθύος λεγομένου βλακός, ὃς ἐν τῷ συνουσιάζειν δυσαπολύτως ἔχει· οὗ μέμνηται καὶ Ἀριστοφάνης ἐν Ὄρνισι. λέγεται δὲ κατ' εὐθεῖαν πτῶσιν βλάξ. βλακεύειν δέ ἐστι τὸ μετὰ νωθρείας καὶ ὀλιγωρίας τι πράττειν, ὡς καὶ Πλάτων ἐν δ' Πολιτείας φησί· 'βλακικὸν δὲ ἡμῖν τὸ πάθος', ἀντὶ τοῦ νωθρὸν καὶ ὀλίγωρον. |

1. *non repperi* 2. *Lex 1 (IV 638, 10 L.)* βαιοί *cf. Hes. I 353, 91* 3. *De hum. usu 6 (VI 132, 13 L.)* βοθρίοισι 4. *De loc. in hom. 47 (VI 346, 18 L.)* βόλβιτον 5. *De oss. nat. 16 (IX 190, 23 L.)* βρυχίη 6. *De artic. 63 (IV 272, 2 L. = II 215, 17 Kw.)* βηκίου 7. *fort. De diaeta III 84 (VI 634, 18 L.)* βρυγμός 8. *De cap. uuln. 19 (III 252, 10 L. = II 25, 20 Kw.)* γλισχρῶδες *Hes. I 381, 47* 11 Εὐφορίων] *fr. 51 Scheidweiler* 9. *De fract. 17 (III 478, 17 L. = II 75, 6 Kw.)* βλακεύειν (ἀμβλακεύειν B^H) *Gal. XIX 88, 11 K. cf. Hes. I 378, 74* 18 Ὄρνισι] *1323* βλακικῶς 20 δ' Πολιτείας] *432 d*

2 βιούμενον *Klein* : βιώμενον *codd.* 4 βοθρίοις C : βοθρίας *cett.* κοίλας HLMO 6 βόλβιτα *scripsi* : βόλιτα *codd.* 8 βηχίου *scripsi* : βηχία *codd.* 13 πλιχῶδες K : πληχῶδες A : πληρῶδες HLMO 16 λεγόμενον HLMO *ante* βλακὸς *add.* βλέννα καὶ A *man. post. in mrg* HLMO 20 δ'] α' *codd.* 21 δὲ ἡμῖν] γε ἡμῶν *Plat.* πάθος *Plat.* : πλῆθος *codd.*

10. βομβυλιοῦ· ἔστι μὲν τὸ βομβύλιον εἶδος μελίσσης. σημαίνει δὲ καὶ τὸν αὐλητήν, παρὰ τὸ τοῖς αὐλοῖς βομβεῖν. ἔστι δὲ καὶ βικίου εἶδος στενοστόμου. 59

11. βρύξαι τοὺς ὀδόντας· ἤγουν βιαίως ἐνερεῖσαι, ὡς ἦχόν τινα γενέσθαι τῶν κάτω πρὸς τοὺς ἄνω κρουόντων.

12. βύζην· ἀθρόως

13. βδελύξειν· στυγήσειν, μισήσειν.

14. βάκχαρις· εἶδος βοτάνης καὶ μύρου, οὗ καὶ Ἀριστοφάνης μέμνηται.

15. βδελλάζεται· ἀμέλγεται. εἴρηται δὲ παρὰ τὰς βδέλλας.

16. βολβόν· βοτάνης ὄνομα.

17. βατίδες· ἰχθύων ὄνομα.

18. βρίσῃ· βαρύνῃ.|

ΑΡΧΗ ΤΟΥ Γ 60

1. γαργαρεών· τὸ κύριον ὄνομα. τὸ ὑπὸ τὴν ὑπερῴαν νῦν λέγει. ἡ γὰρ σταφυλὴ καὶ ἡ κιονὶς καὶ ἡ ἱμὰς πάθη εἰσὶ τοῦ γαργαρεῶνος. γαργαρεὼν δὲ ὠνομάσθη παρὰ τὸν γινόμενον γαργαλισμὸν τῇ τραχείᾳ ἐξ αὐτοῦ ἀρτηρίᾳ.

2. γονίμη ἡμέρα· ἀντὶ τοῦ περιττή. ἐπειδὴ αἱ περιτταὶ

10. *De morb. III 16 (VII 148, 11 L.)* βομβυλιοῦ *cf. Gal. XIX 89, 4 K.* **11.** *De mul. aff. I 7 (VIII 32, 22 L.)* τοὺς ὀδόντας βρύχει *cf. Gal. XIX 90, 2 K.* **12.** *De mul. aff. I 5 (VIII 28, 13 L.)* βύζην *Gal. XIX 90, 4 K. cf. Hes. I 405, 5* **13.** *De mul. aff. I 39 (VIII 96, 2 L.)* βδελύξεται **14.** *De mul. aff. II 134 (VIII 304, 16 L.)* βάκχαριν ἢ *ante* λευκὸν Αἰγύπτιον *inseruerim* Ἀριστοφάνης] *Thesmophor. alt. fr. 319, 3 K.* **15.** *De mul. aff. I 73 (VIII 154, 3 L.)* ἐκθηλάζεται *cf. Hes. I 367, 85* **16.** *De mul. aff. I 75 (VIII 166, 7 L.)* βολβοῦ **17.** *De aff. int. 27 (VII 240, 3 L.)* βατίσι *cf. Hes. I 364, 35* **18.** *De mul. aff. I 4 (VIII 26, 16 L.)* βρίσῃ

1. *Prognost. 23 (II 178, 9 L. = I 104, 5 Kw.)* γαργαρεῶνες *Hes. I 416, 73* **2.** *Epid. II 6, 8 (V 134, 14 L.)* γονίμῃ ἡμέρῃ *cf. Hes. I 441, 18*

7 μισήσειν *om.* HLMO 10 βδελλάζεται *scripsi* : θηλάζηται A : θηλάξηται HLMO ἀμέλγεται *scripsi* : ἀμέλγηται *codd.* 19 *ante* τῇ *add.* ἐν *Klein*

ἡμέραι ὡς ἐπίπαν κρίσιμοι τυγχάνουσι καὶ γεννητικαί τινος ὠφελίμου. ὅθεν καὶ γόνιμον μῆνα τὸν περιττὸν καλοῦσιν.

3. γονοειδές· τὸ ὅμοιον γόνῳ, τουτέστι σπέρματι. αὐτὸς γὰρ ἐν τῷ Περὶ τόπων τῶν κατ᾽ ἄνθρωπόν φησι· 'γονοειδὲς οὖν οὖρον τὸ λευκὸν καὶ παχύ'. ἐὰν δὲ τονοειδὲς γράφῃ, τὸ πνεῦμα τὸ μετὰ πόνου καί τινος συντονίας ἀναπνεόμενον λέγει.

4. γονή· ὁτὲ μὲν τὸ σπέρμα δηλοῖ, ὁτὲ δὲ τὴν μήτραν. κεῖται ἐν πολλοῖς παρ᾽ Ἱπποκράτει.

5. γλῶσσα λιγνυώδης· μέλαινα καὶ τεφρώδης. ὠνόμασται δὲ παρὰ τὴν λιγνύν, ἥτις ἐστὶ καπνώδης αἰθάλη. γίνεται δὲ τοιαύτη διὰ τὴν ὑπερβάλλουσαν φλόγωσιν. φησὶ γάρ· 'πελιὴ δὲ γεγονυῖα, ἤγουν λιγνυώδης'.

6. γλισχρόχροα· τὰ μετά τινος κολλώδους ἐπαφῆς παρατετηρημένα τὴν χροιὰν ἐπὶ τὸ χαλεπώτερον. |

61 7. γῆν μεταμείβειν. ἤγουν πορεύεσθαι. ἀμείβειν γὰρ τὸ ἀλλάσσειν καὶ μεταπορεύεσθαι.

8. γυῖον· Βακχεῖος ἐν α´ σῶμά φησιν ἢ μέλος, οὐκ ὀρθῶς φήσας. κατὰ γὰρ τῶν μελῶν ἰδίως τέτακται, ὡς καὶ Ὅμηρος·

γυῖα δ᾽ ἔθηκεν ἐλαφρά.

9. γαργαλισμόν· γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιωσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως. ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.

3. *Epid. II 3, 11 (V 114, 3 L.)* γονοειδές 4 φησι] *haec uerba in libro De loc. in hom. non inueniuntur: cf. app.* 4. *Epid. II 1, 6 (V 76, 16 L.)* γονῆς *cf. Hes. I 441, 16* 5. *Epid. III 17 aeg. 12 (III 136, 3 L. = I 241, 21 Kw.)* γλῶσσα λιγνυώδης *cf. Gal. XIX 71, 9; 118, 14 K.* 11 φησὶ γάρ] *haec uerba, quae in Hipp. codd. desunt, Epid. l. c. legisse ueri simile est Erot.* 6. *Epid. IV 26 (V 170, 11 L.)* γλισχρόχολα 7. *Epid. VI 5, 13 (V 318, 18 L.)* γῆν μεταμείβειν 8. *De loc. in hom. 6 (VI 286, 9 L.)* γυῖα. γυίῳ 19 Ὅμηρος] E *122* 9. *De oss. nat. 15 (IX 190, 8 L.)* γαργαλισμόν 23 Γηρυτάδῃ] *fr. 175 K.* Δαναΐσι] *fr. 25 K.*

3 αὐτὸς *Steph. 121* : αὐτὸ *codd.* 4 *post* φησι *fort. intercidit aliquid, cf. test.* 5 γράφει HLMO 7 μητέρα LMO 18 φήσας] νοήσας *coni. Ilberg Abh. 120 n. 1* μυῶν HLMO 21 γαργαλισμοῦ *codd.* : *correxi* 22 πασχητιουσῶν *codd.* : *corr. Meineke FCG. II 1013* 23 γηρυτάδι D[a] : γηρυγάδι *cett.* διίφιλος *codd.*

10. γογγυλίδια· τὰ μικρὰ καταπότια. εἴρηται δὲ ἀπὸ τῆς κατὰ τὸ σχῆμα ὁμοιότητος.

11. γάλακτι τέγγειν· ἀντὶ τοῦ λιπαρῶς ἐμβρέχειν.

ΑΡΧΗ ΤΟΥ Δ

1. δυσάνιος· δυσθύμως καὶ δυσκόλως τὰς ἀνίας φέρουσα.

2. διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ. παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ | ἡ λέξις, κειμένη καὶ παρὰ Ἀριστοφάνει ἐν 62
Ἀττικαῖς λέξεσι καὶ παρὰ Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.

3. δορπηστοῦ· τοῦ τῆς ἑσπέρας καιροῦ, παρὰ τὸ δόρυ παύειν. ὃ γὰρ ἡμεῖς ἄριστον καλοῦμεν, οἱ παλαιοὶ δεῖπνον ὀνομάζουσι, μεθ' ὃ δεῖ πονεῖν.

4. δίκραια· τὰ διῃρημένα εἰς δύο καὶ οἷον δίχηλα καὶ δικόρυφα. κεῖται κἀν τῷ Περὶ τόπων.

5. διαρθροῦν· διατυποῦν.

6. διαδέσμους· διαφύσεις.

7. διεβλήθησαν· παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησί·

10. *De uict. acut. II 37 (II 526, 1 L.=I 178, 16 Kw.)* καταπότια *cf. Gal. XIX 91, 13 K.* **11**. *De septim. 31 (VIII 655, 13 L.=IX 453, 12 L.=53, 33 R.)* lacte . . . conluere *fragm.* **84**

1. *Epid. III 17 aeg. 11 (III 134, 2 L.=I 214, 4 Kw.)* δυσήνιος **2**. *Epid. V 74 (V 246, 21 L.)* διόπῳ *Gal. XIX 93, 13 K. cf. Hes. I 518, 5 sqq.* 8 Ἀττικαῖς λέξεσι] *fr. XXIX N.* Σισύφῳ] *fr. 232 N.* 9 Ἱππολύτῳ] *fr. 447 N.* **3**. *Epid. V 22 (V 222, 8 L.)* δορπηστοῦ **4**. *Epid. VI 1, 10 (V 270, 11 L.)* δίκραια 14 Περὶ τόπων] *De locis in hom. 6 (VI 288, 15 sq. L.)* **5**. *De nat. pueri 17 (VII 499, 10. 15. 24 L.)* διαρθροῦται **6**. *De nat. pueri 14 (VII 492, 18 L.)* διαδέσμους

7. *De nat. pueri 30 (V 532, 15 L.)* διεβλήθησαν 18 Ἱππολύτῳ] *fr. 435 N.*

1 γογγυλίδα *codd.* : *correxi* 3 γάλακτι *scripsi* : γάλα καὶ λίπα *codd.* 5 δυσάνιος *scripsi* : δυσήνιος *Steph.* : δυσκύνιος *codd.* φερούσης *codd.* : *corr. Foes 170* 6 νηὸς] *lac. 4 litt.* HLMO 8 σιάφῳ HLMO εὐριπίδ A : εὐριπίδης HLMO 9 ἱππολιτ' H : ἱππολίτῃ LMO 10 δόρπης *codd.* : *corr. Foes 169* 12 ποιεῖν HLMO

13 δίκρανα CKHLMO 15 διορθοῦν H 16 διαθέσμους *codd.* : *corr. Heringa 107* 18 φησί *om.* HLMO

τί δὲ ἢν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ;

μέμνηται τῆς λέξεως καὶ ἐν Πολυΐδῳ καὶ ἐν Ὀρέστῃ.

8. δίκαιον· ἐνθάδε μὲν εὔλογον, ἐν δὲ τῷ Περὶ ἄρθρων τὸ ὅμοιον, ὅταν φῇ· ʻἐπειδὴ δίκαιον ἔχουσιν οἱ ἄνθρωποι τό τε ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τὰ σκέλη, παραδείγματι
63 χρῆσθαι ὑγιεῖ | πρὸς τὸ μὴ ὑγιέςʼ. ἐπὶ δὲ τοῦ ἴσου καὶ τοῦ συμφέροντος, ὅταν λέγῃ· ʻπαρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατον μὲν μοχλεύειν, ἢν μοῦνον ἐσώτερον τῆς κεφαλῆς ᾖ τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιρροπαί, ἀσφαλέες ⟨δὲ τῷ⟩ ὀστέῳʼ. ἐπὶ δὲ μόνου τοῦ συμφέροντος ἐν τῷ Περὶ ἀγμῶν φησιν· ʻʻἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων καὶ κατηγμάτων ὡς ἰθύτατα τὰς κατατάσιας ποιεῖσθαι. αὕτη γὰρ ἡ δικαιοτάτη φύσιςʼʼ. ⟨καί⟩· ʻʻὥσπερ νόμος δίκαιοςʼʼ. ἐν δὲ τῷ Περὶ ἄρθρων ἐπὶ τοῦ ἰσχυροῦ φησιν· ʻτί γὰρ δικαίη μόχλευσις οὐκ ἂν κινήσειενʼ; ἀντὶ τοῦ ἰσχυρά. μόνον γὰρ τὸ δίκαιον καὶ εὔλογόν ἐστι καὶ ἁπλοῦν καὶ ἰσχυρὸν καὶ συμφέρον.

9. διαφραδές· σαφές.

2 Πολυΐδῳ] *fr. 646 N.* Ὀρέστῃ] *fr. inc. 859: in Oreste non exstat* 8. *De nat. hom. 1 (VI 34, 2 L. = 26, 5 V.)* δίκαιον *Hes. I 513, 2* Περὶ ἄρθρων] *10 (IV 102, 9 L. = II 126, 2 Kw.)* 7 λέγῃ] *De artic. 7 (IV 90, 19 L. = II 119, 9 Kw.)* 11 Περὶ ἀγμῶν] *1 (III 412, 1 L. = II 46, 2 Kw.); 7 (III 442, 1 L. = II 57, 20 Kw.)* 14 Περὶ ἄρθρων] *7 (IV 92, 7 L. = II 120, 1 Kw.)* **9**. *De loc. in hom. 2 (VI 278, 17 L.)* διαφραδέως

1 λυθῇς *codd.* : *corr. Steph. 123* διαβαλεῖς *codd.* : *corr. Steph. 123* 2 πολυείδῳ *codd.* : *correxi* 3 εἰ (εἷς H) δὲ τὸ HLMO 4 ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι *Hipp.* 5 σκέλεα *Hipp. codd.* 6 χρῆσθαι] χρησάμενος *codd., fort. corruptum a scriba aliquo uerbum Erotiano tribuente* : χρῆσθαι δεῖ B^{H} : χρέεσθαι $M^{H}V^{H}$ 8 ὤμου *scripsi* : ὁμοίου *codd.* δικαιότατα μὲν γὰρ *Hipp.* μοχλεύειν *codd.* B^{H} : μοχλεύει $M^{H}V^{H}B^{H3}$ ἐσωτέρω ᾖ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος *Hipp.* δικαιότατον δὲ δι' ἀντιρροπίην ἀσφαλείης ὀστέου *codd.* : *ex Hipp. correxi*
11 ἀγμῶν] ἀγρῶν HLMO καὶ] τε καὶ *Hipp.* 12 τὰ κατατάσια HLMO 13 καὶ *add. Foes 165* 14 ἰσχυροῦ ad significandam uim *Eust* : ἰσχίου *codd.* τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν *Hipp.* δίκαιον ἡ μόχλευσις *codd.* : *corr. Steph.*

10. διαρόγχας· τὰς τῶν ἐπιδέσμων διαπνοὰς καὶ τὰ μεταξὺ τούτων διαστήματα. εἴρηται δὲ παρὰ τὴν ῥέγχην, ἥτις ἐστὶν εἶδος ἀναπνοῆς.

11. δῖνος· σκότωσις, ὡς φέρεσθαι δοκεῖν τὰ ὁρώμενα. ἔστι δὲ καὶ | εἶδος ὀρχήσεως. καὶ ὁ σκοτόδινος δὲ ταὐτὸν ση- **64** μαίνει καὶ ἡ σκοτοδινία.

12. διατρίβειν· ἐγχρονίζειν.

13. διεβίβασκον· διεβίβαζον.

14. διαμπερές· διαμπάξ.

15. δακρυῶδες ἕλκος· τὸ δίυγρον καὶ ἰχωρορροοῦν.

16. δυσθεσίην· δυσαρέστησιν ἢ δυσαποκατάστασιν.

17. δίκλειδος· δίκλειδες ἰδίως λέγονται θύραι αἱ δίχα τετμημέναι, ὡς δύνασθαι μέρους τινὸς κεκλεισμένου τὸ λοιπὸν ἀνεῷχθαι.

18. διαφανέσι· διαπύροις.

19. † διαίρησαι· διελθεῖν.

20. δῆθεν· δήπουθεν.

21. διακναισθέν· διαφθαρέν.

10. *De med. off. 7 hoc uerbum legisse ueri simile est Erot. cf. Hes. I 496, 77* **11**. *De cap. uuln. 11 (III 220, 16 L.=II 14, 18 Kw.)* δῖνος **12**. *De cap. uuln. 19 (III 254, 14 L.=II 26, 14 Kw.)* διατρίβειν **13**. *e libro De fract. fluxisse uidetur* **14**. *De fract. 22 (III 492, 3 L.=II 79, 22 Kw.)* διαμπερής *cf. Hes. I 493, 68* **15**. *De fract. 25 (III 500, 1 L.=II 83, 1 Kw.)* ἕλκος . . . δακρυῶδες **16**. *De fract. 33 (III 534, 12 L.=II 98, 16 Kw.)* δυσθεσίην (*B^H*: δυσαισθησίην *M^H V^H*) **17**. *De artic. 7 (IV 92, 16 L.=II 120, 13 Kw.)* δίκλειδος *cf. Gal. XIX 93, 9 K. Hes. I 515, 36 sq.* **18**. *De artic. 11 (IV 106, 13 L.=II 128, 15 Kw.)* διαφανέσι *cf. Hes. I 502, 31* **19**. *e libro De artic. fluxisse uidetur* **20**. *De artic. 14 (IV 120, 5 L.=II 135, 15 Kw.)* **21**. *De mul. aff. I 64 (VIII 132, 4 L.)* διακναισθέν *Hes. I 488, 57*

1 διαροχάς *codd.* : *ex Hes. corr. Schleusner* 2 ῥείχην LMO : ῥίχην H 5 σκοτώδινος A 6 σκοτωδινία A 7 ἐγχονίζειν LMO 8 διεβίβασκον *Wackernagel Glotta VII 178 n. 2* : διέβασκον *codd.* 10 ἰχωροροοῦν H : ἰχωρορρυοῦν *cett.* 12 δικλεῖδος· δικλεῖδες *codd.* λέγονται HLM : λέγεται AO 16 διέρσαι *coni. Heringa 108, glossam ad libr. De artic. 11 (IV 106, 20 L.=II 129, 3 Kw.)* διέρσαι *referens*

22. δοχμοί· πλάγιοι.

23. οἶνον αὐτίτην· τὸν ἀπαράχυτον. ὡς καὶ Πολύζηλος ἐν Δημοτυνδάρεῳ φησιν· |

65 † ἀμαθῶς γὰρ αὐτίτης πᾶσί τε θεοξενίης ἐγίνετο.

24. διαπτερώσιες· διακαθάρσεις ὤτων. χρώμεθα γὰρ πτεροῖς ἐνίοτε διακαθᾶραι ὦτα βουληθέντες, ὡς καὶ οἱ αὐληταὶ τοὺς αὐλούς.

25. δειμώδεος· φοβεροῦ. καὶ δεῖμα ὁ φόβος. Ἀττικὴ δὲ ἡ λέξις.

26. δαῦκος· ἔνιοι τὴν δάφνην ἐνόμισαν, οὐκ ὀρθῶς. ἔστι γὰρ βοτάνης εἶδος.

27. διειπετὴς ὁ γόνος· ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός, ὡς καὶ Εὐριπίδης ἐν Φοίνικι λέγων·

> † δμῶσιν δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις
> πυρίδες καὶ διειπετῆ κτεῖναι †.

28. δελφύϊ· τῇ μήτρᾳ.

29. δέτιδα· τὴν λαμπάδα, παρὰ τὸ δεσμεύεσθαι.

30. δρακόντιον· βοτάνης εἶδος. οὕτω δὲ καλεῖται καὶ ὁ τοῦ ἄρου καυλὸς παρὰ τὴν πρὸς τὸ ζῷον ὁμοιότητα.

31. διαρκεῦντες· βοηθοῦντες. |

22. *De mul. aff. II 141 (VIII 314, 9 L.)* δοχμοί *cf. Hes. I 533, 1 sqq.* **23.** *De morb. III 14 (VII 136, 8 L.)* οἶνον αὐτίτην 3 Δημοτυνδάρεῳ] *fr. 1 K.* **24.** *e libro De uictu acut. fluxisse uidetur, cf. I 16 (II 350, 3 L. = I 139, 2 Kw.)* διαπτερώσειε (διαπτερώσιες A^{H}) **25.** *De uictu acut. I 2 (II 232, 9 L. = I 111, 7 Kw.)* λοιμώδεος *cf. Hes. I 468, 73 sqq.* **26.** *aut De uictu acut. I 7 (II 274, 4 L. = I 120, 18 Kw.)* δαῦκος *aut De morb. III 15 (VII 142, 2 L.)* δαύκου **27.** *De mul. aff. I 24 (VIII 64, 5 L.)* γόνος . . . διειπετής 13 Φοίνικι] *fr. 815 N.* **28.** *De steril. 222 (VIII 428, 23 L.)* δελφύϊ *cf. Hes. I 473, 3* **29.** *an De steril. 217 (VIII 420, 7 L.)* δαῖδα? *cf. Gal. XIX 92, 2 K.* **30.** *De steril. 230 (VIII 442, 26 L.)* δρακόντιον **31.** *Presbeut. (IX 408, 11 L.)* διαρκέοντες *cf. Hes. I 496, 71*

1 δοχμοί C : δογμηοί A : δογμή HLMO πλάγιοι A : πλάγιον HLMO 2 οἶνον *Steph. 124* : δεινὸν *codd.* 3 Δημοτυνδάρεῳ] Demotyndareo *Eust.* : δήμῳ (δήμως A) τυνδάρεων *codd.* 4 ἀμαθὰ HLMO αὐτίταν HLMO ἐγένετο CHLMO 12 διηπετὴς *codd.* : *correxi* 13 φοινίκη *codd.* 14 δμωσὶ *codd.* 15 διηπετῆ *codd.*

ΑΡΧΗ ΤΟΥ Ε 66

1. ἐπανερέσθαι· ἐπερωτῆσαι.

2. εὐπετέστερον· ῥᾴτερον.

3. εὐηθέστατοι· οἱ μὴ κακοήθεις.

4. εἰρύεται· ἕλκεται. ὡς καὶ Ὅμηρος·

νεκρόν γ᾽ αὖ ἐρύοντα.

5. ἐκχλοιούμενα· Βακχεῖος ἐν β´ ἔνωχρα, οὐ νοήσας. πεποίηται γὰρ ἀπὸ τῆς χλόης, ἥτις ἐστὶ περιαγωγὴ φυτώδης.

6. ἔρειψις· πτῶσις. καὶ ἐρείπειν τὸ καταπεσεῖν. οὕτω κεῖται καὶ τὸ ἐξήρειπεν.

7. εἶρος· οἱ μὲν σχηματισμὸν τῆς περὶ τὸν σπλῆνα σκιρώδους ὀγκώσεως εἶναί φασιν, οἱ δὲ τὴν περὶ ὅλον τὸ σῶμα κάκωσιν. οὐ καλῶς ἀμφότεροι. ἔστι γὰρ ὁ εἶρος πυρετοῦ εἶδος.

8. ἕρπει· ἠρέμα βαδίζει. καὶ ἑρπετὰ τὰ εἰς τὴν ἔραν βαδίζοντα, ἤγουν τὴν γῆν.

9. ἕλκεα περιμάδαρα· τὰ ἀνώμαλα καὶ ἄτροφα. |

10. ἔπαφρα· τὰ διάλευκα καὶ οἷον ἀφρώδη. 67

11. ἔκρουν· τὸ πονηρόν. ἢ τὴν ἔκκρισιν.

12. ἐνυδρέονται· καθυγραίνονται.

1. *Prognost.* 2 *(II 114, 8 L. = I 79, 21 Kw.)* ἐπανερέσθαι *cf. Hes. II 135, 99* 2. *Prognost. 6 (II 124, 3 L. = I 83, 12 Kw.)* εὐπετέστερον 3. *Prognost. 20 (II 168, 8 L. = I 100, 10 Kw.)* εὐηθέστατοι 4. *Prorrhet. I 45 (V 522, 7 L.)* εἰρύαται Ὅμηρος] *Δ 467* 5. *Prorrhet. I 131 (V 556, 7 L.)* ἐκλυόμενα 6. *De hum. 4 (V 480, 9 L.)* ἔρριψιν 7. *e libro De hum. (fortasse cap. 8) fluxisse uidetur* 8. *De diaeta saepe, uelut I 7 (VI 480, 20 L.)* ἕρπει *cf. Hes. II 195, 6 sq.* 9. *De hum. 14 (V 496, 3 L.)* ἕλκεα μαδαρά 10. *Epid. I 13 aeg. 2 (II 684, 15 L. = I 203, 15 Kw.)* ἔπαφρα 11. *Epid. II 1, 7 (V 78, 2. 3 L.)* ἔκρουν 12. *ex Epid. II fluxisse uidetur*

6 γ᾽ αὖ] γὰρ *Hom.* 7 ἐγχλοιούμενα *codd. : corr. Heringa 111* οὐ *scripsi :* οὕτως *codd.* 9 ἐριπεῖν *Klein* 10 ἐξήριπεν *Klein. cf. 37. 18* 11 σχημάτισμα HLMO 12 φασίν] aiunt *Eust :* φησίν *codd.* 17 ἄτυφα HLMO 19 τὸ πονηρόν *suspectum* 20 καθυγραίνονται Λ : καθυγραίνοντα LMO

13. ἐκθύματα· ἐκζέματα, ὥς φησι Βακχεῖος. καὶ ἐκθύσεις αἱ ἐξανθήσεις.

14. ἐπαναιώρημα ἐπινέφελον· τὸ ἐφιστάμενον τοῖς οὔροις καὶ τοῖς διαχωρήμασι καὶ οἷον ἐπικρεμάμενον, ποικίλῳ χρώματι κεχρημένον. νεφέλας γὰρ ἰδίως καλεῖ τὰς τοιαύτας ἐφιστάσεις.

15. ἐλάπαξεν· ἐμάλαξεν.

16. ἐξέρυθρον· οἱ μὲν ἐξεδέξαντο τὸ λίαν ἐρυθρόν, οἱ δὲ τὸ ἔξω γινόμενον ἐρύθημα, ἐξ ὧν καὶ Φιλωνίδης ὁ Σικελός.

17. ἔμυξεν· ἐστέναξεν. μέμνηται τῆς λέξεως καὶ Μένανδρος ἐν Ἀσπίδι.

18. ἐλατήρια· κοινῶς τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα.

19. ἐπίδυεν· ἐπεδιέρρει καὶ διεπήδα.

20. ἐτιταίνετο· ἐνεπήγνυτο. |

68 21. ἐκθήλυνσις· ἔκτηξις καὶ ἰσχνότης. Νίκανδρος δὲ ἀντὶ τῆς ἐκμαλθάξεως αὐτὴν τέθεικεν.

22. ἐπίθημα ἔχειν· ἀντὶ τοῦ πῶμα ἔχειν. ἰδίως γὰρ οἱ Ἀττικοὶ ἐπίθημα τὸ πῶμα καλοῦσι.

23. ἐκλαπήσεται· ἀντὶ τοῦ ἐκγλυφθήσεται καὶ ἐκγεννηθήσεται, ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησί·

13. *Epid. II 2, 16 (V 90, 5 L.)* ἐκθύματα *cf. Hes. II 43, 9* **14**. *Epid. III 1 aeg. 3 (III 42, 8 L. = I 218, 6 Kw.)* ἐναιώρημα ἐπινέφελον **15**. *Epid. IV 31 (V 174, 14 L.)* ἐλάπαξεν **16**. *Epid. IV 35 (V 178, 9 sq. L.)* ἐξέρυθροι. ἐξέρυθρος **17**. *Epid. V 6 (V 206, 12 L.)* ἔμυζεν *Greg. Cor. Ion. 178* 11 Ἀσπίδι] *fr. 81 K.* **18**. *Epid. V 7 (V 208, 1 L.)* ἐλατήριον *Gal. XIX 97, 2 K. Greg. Cor. Ion. 179* **19**. *Epid. V 16 (V 214, 22 L.)* ἐπίδυέν *(Littré:* ἐπήδα *uulg.)* **20**. *Epid. V 47 (V 234, 17 L.)* ἐτιταίνετο **21**. *Epid. VI 1, 9 (V 270, 6 L.)* ἐκθηλύνσιες Νίκανδρος] *fr. 135 Schn.* **22**. *Epid. VI 4, 8 (V 308, 18 L.)* ἐπίθημα ἔχειν *Hes. II 154, 17* **23**. *De nat. pueri 29 (V 530, 11 L.)* ἐκλεπίσηται 21 Γηρυτάδῃ] *fr. 164 K.*

1 ἔκχυμα· τὰ ἐκζέματα *codd.* : *corr. Schmidt ad Hes. l. c.* 2 ἐκχύσεις *codd.* : *corr. Schmidt* 3 ἐναιώρημα *praetulerim coll. Hipp. l. c.* 14 ἐπέδυεν *codd.* : *corr. Littré* 16 ἐκθήλυσις HLMO 20 ἐπιγλυφθήσεται CK 21 γυριτάδει A : γυριτώδει HLMO

† φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

ἅπαξ εἴρηται καὶ παρ' ἡμῶν ἐξήγηται μόνον.

24. ἐναυλιζόμενον· ἐμμένον.

25. εὐπετίην· εὐχέρειαν.

26. ἐξαυαίνεται· ξηραίνεται.

27. ἐκπεπταμένα· ἐξεπτυγμένα καὶ ἐξηπλωμένα.

28. ἔρματα· στηρίγματα.

29. εὐσταλέως· περιεσταλμένως.

30. ἕδρῃ· Βακχεῖος ἐν τρίτῃ ἐπιμονῇ. Ἐπικλῆς δὲ ἐγκαθισμῷ | χρονίῳ καὶ ἐπιμόνῳ. ἑκάτεροι δὲ ὡς οἶμαι ἁμαρ- 69
τάνουσιν. οὐ γὰρ ἓν δηλοῖ ἡ λέξις, ἀλλ' ἐνθάδε μὲν τὴν καθέδραν σημαίνει. ἔνθεν γὰρ καὶ δίεδρα λέγεται τὰ ἐφ' οἷς καθήμεθα. ἐν γοῦν τῷ Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων αὐτὸς ἐξηγεῖται λέγων· 'διακοπὴ δὲ καὶ ἕδρη ταὐτόν ἐστιν. φλᾷ δὲ οὐ μάλα'. καὶ πολλάκις. ὁμοίως κἂν τῷ Μοχλικῷ φησι· "καταναγκάσαι δὲ τὰ ὑπερέχοντα ἐς ἕδρην πτέρνῃ ἢ θέναρι", τουτέστιν εἰς τὸν οἰκεῖον τόπον.

31. ἐξήρειπεν· ἐξέπεσεν.

24. *De nat. hom. 12 (VI 62, 17 L. = 40, 16 V.)* ἐναυλιζόμενον **25.** *De nat. hom. 12 (VI 64, 7 L. = II 41, 4 V.)* εὐπέτειαν **26.** *e libro deperdito De sanitate fluxisse uidetur* **27.** *De prisca med. 22 (I 626, 10 L. = I 26, 24 Kw.)* ἐκπεπταμένα **28.** *De med. off. 25 (III 334, 1 L. = II 44, 11 Kw.)* ἑρμάσματα **29.** *De med. off. 3 (III 280, 5 L. = II 31, 15 Kw.)* εὐσταλέως *fragm.* **62** **30.** *De med. off. 3 (III 282, 8 L. = II 32, 10 Kw.)* ἕδρῃ 13 Περὶ τῶν ἐν κεφαλῇ τραυμάτων] *11 (III 220, 11 L. = II 14, 10 Kw.)* 15 Μοχλικῷ] *38 (IV 382, 13 L. = II 268, 4 Kw.)* **31.** *De med. off. 12 (III 314, 6 L. = II 39, 18 Kw.)* ἐξήριπε *Hes. II 125, 87*

1 φημὶ δ' οὖν ἐγὼ βροτῶν ἅπαντ' ἂν ἐκλαπῆναι *G. Hermann* 6 ἐξεπτυγμένα *Steph.* : ἐξεστιγμένα *codd.* 7 ἔργματα *codd.* : *corr. Steph. 128* 9 ἕδρῃ *scripsi* : ἕδρας ως, *dein* -ας *in* ε *mut. et* η *supra* -ρα- *scr.* A : ἑδρεστῶς HLMO *cum glossa anteced. coniung. codd.* ἐπιμονῇ H : ἐπιμόνως H[1] 10 ἐγκάθισμα HLMO 13 τῷ περὶ τὴν κεφαλὴν *codd.* : *corr. Steph.* 14 τωὐτόν *Hipp. codd.* 15 φλᾷ δὲ οὐ *Hipp.* : ὅλα δ' εὐ *codd.* 16 καταναγκάσαι *Hipp.* : κατανάγκας *codd.* πτέρνῃ *Hipp.* : πτέρνᾳ *codd.* 17 θέναρι *Steph.* : θ' ἐν ἄρῃ A : θ' ἐνάρῃ HLMO 18 ἐξήριπεν *Foes 217, cf. 35, 9 sq.*

32. ἐξαρύεται· Βακχεῖος ἐν γ´ ἐκθλίβεται, ἐξαντλεῖται, ἐκπιέζεται.

33. ἐξάστις· αἱ ἐμφερόμεναι τοῖς ἐπιδέσμοις κατὰ τὰς ἕλικας κρόκαι ἐξάστεις παρ᾽ αὐτῷ καλοῦνται.

34. ἐκθήλυνσις· ἔκτηξις καὶ ἰσχνασία.

35. ἐσματτευόμενον· Βακχεῖος ἐν β´ ἐμβάλλον ἢ ζητοῦν ἢ ἐμπῖπτον. μᾶλλον δὲ ἐνερεῖδον ἂν εἴη. ἔστι δὲ ἡ λέξις Ἀττικὴ καὶ διὰ τῶν δύο τ γραφομένη τε καὶ ἐκφωνουμένη. |

70 36. ἕδος· θρόνος ἢ δίφρος, ὡς Βακχεῖος ἐν α´. εἴρηται δὲ παρὰ τὸ ἐπ᾽ αὐτῷ ἕζεσθαι. μαρτυρεῖ δὲ Ἱπποκράτης ἐν τῷ Περὶ ἄρθρων λέγων· ʽπάνυ μὲν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἕδος Θεσσαλικόνʼ, ἀντὶ τοῦ περὶ δίφρον Θεσσαλικόν. πᾶς γὰρ δίφρος ἀνακλισμὸν ἔχων Θεσσαλικὸς παρὰ τοῖς παλαιοῖς λέγεται.

37. ἐδικραιώθη· εἰς δύο διῃρέθη.

38. ἐνεκρίκωσεν· ἐνέδησεν.

39. ἐνεφλεβοτόμησε· Βακχεῖος ἐν τρίτῃ φησίν, ὅτι διεῖλεν εἰς πλείους τόπους τὰς φλέβας καὶ οἷον ἐμέρισεν.

40. ἐξαμελγόμεναι· ἐκθηλαζόμεναι.

32. *De med. off. 22 (III 326, 3 L.=II 43, 2 Kw.)* ἐξαρύεται (*Kuehlewein*: ἐξαρεῖαται $B^{II}M^{II}$: ἐξάρῃ ἅτε V^{II}) *cf. Gal. XIX 98, 9 sq. K.* **33**. *De med. off. 11 (III 306, 6 L.=II 37, 10 Kw.)* ἐξάστιας *fragm.* **69** **34**. *De med. off. 12 (III 312, 12 L.=II 39, 11 Kw.)* ἐκθήλυνσιν **35**. *e Vectiarii parte deperdita fluxisse uidetur* **36**. *e Vectiarii parte deperdita fluxisse uidetur fragm.* **80** *Hes. II 15, 42* 12 Περὶ ἄρθρων] *7 (IV 92, 10 L.=II 120, 5 Kw.)* **37**. *De oss. nat. 10 (IX 178, 18 L.)* ἐδιχώθη *Greg. Cor. Ion. 181* **38**. *De oss. nat. 18 (IX 194, 8 L.)* ἐνεκρίκωσε *Hes. II 93, 00 Greg. Cor. Ion. 180* **39**. *De oss. nat. 18 (IX 194, 8 L.)* ἐνεφλεβοτόμησε *Hes. II 96, 83* **40**. *De oss. nat. 19 (IX 196, 2 L.)* ἐξαθελγόμεναι

1 ἐξαντλεῖται *ante* Βακχεῖος *transp. Ermerins III p. CXXI* 4 ἐξάστεις *scripsi*: ἐξάστις *codd.* 5 *glossam om.* HLMO 6 ἐσματτευόμενον A: ἐσμαρτευόμενον HLMO: *corr. Klein* ζηλοῦν *codd.*: *corr. Foes 202* 8 τῶν δύο τ *scripsi*: τοῦ βτ *codd.* 12 μὴν *Hipp. codd.* μέγα] μετὰ *codd.* 17 ἐνεκρίκωσεν CK: ἐνεκρέκωσεν HLMO: ἐνε//εύωσεν A ἐνέδυσεν *codd.*: *corr. Eust.*

41. ἕλκος † μυκονοειδές· οἱ μὲν τὸ κάθυγρον καὶ μυξῶδες, ἐπεὶ τοιοῦτοι οἱ μυκτῆρες.

42. ἐπίδοξοι· προσδόκιμοι.

43. ἐκπεπλιγμένον· ἐξεπτυγμένον.

44. ἐγγωνίῳ πήχει· ἐγγώνιος πῆχυς λέγεται, ὅταν καμφθεὶς γωνιοποιηθῇ κατὰ τὸν ἀγκῶνα. | 71

45. εὐθυωρίαν· εὐθύτητα.

46. εἰσάσθω· ἀντὶ τοῦ καθισάτω.

47. εὐθετισάμενος· καταστείλας.

48. ἐθανατώθη· ἐνεκρώθη.

49. ἐτιταίνετο· ἀντὶ τοῦ ἔτεινεν, ὡς καὶ Ὅμηρος·

ἐτιταίνετο καμπύλα τόξα.

50. ἐπεσοφίσαντο· περιειργάσαντο.

51. ἐκχαυνοῦν· ἐξαπατᾶν καὶ μετεωρίζειν.

52. εὐαλθέα· εὐθεράπευτα. καὶ ἄλθεξις ἡ ἴασις καὶ ἡ θεραπεία.

53. ἐπίστανται· δύνανται, ὡς καὶ Ὅμηρος·

ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν.

41. *non repperi* **42.** *De fract. 24 (III 494, 3; 494, 6 L. = II 80, 18; 81, 3 Kw.)* ἐπίδοξος. ἐπιδόξους *Hes. II 152, 49* **43.** *De fract. 25 (III 498, 13 L. = II 82, 18 Kw.)* ἐκπεπλιγμένον **44.** *Vectiar. 12 (IV 356, 8 L. = II 253, 7 Kw.)* ἐγγωνίῳ τῷ πήχει **45.** *De fract. 2 (III 418, 5 L. = II 47, 11 Kw.)* ἰθυωρίην *Greg. Cor. Ion. 182*
46. *e libro De fract. fluxisse uidetur; an 3 (III 426, 16 L. = II 51, 7 Kw.)* καθίννυσθαι . . χρή? **47.** *De fract. 8 (III 446, 11 L. = II 60, 10 Kw.)* εὐθετισάμενος **48.** *De fract. 26 (III 504, 16 L. = II 85, 10 Kw.)* ἐθανατώθη **49.** *e libro De fract. aut e De artic. fluxisse uidetur* Ὅμηρος] Ε *97* **50.** *De artic. 14 (IV 120, 15 L. = II 136, 8 Kw.)* ἐπεσοφίσαντο **51.** *De artic. 42 (IV 182, 16 L. = II 167, 11 Kw.)* ἐκχαυνοῦν **52.** *De artic. 39 (IV 170, 14 L. = II 161, 7 Kw.)* εὐαλθέα *fragm.* **89** *cf. Gal. XIX 75, 5 K.* **53.** *De artic. 37 (IV 166, 14 L. = II 159, 1 Kw.)* ἐπίστανται Ὅμηρος] Ξ *92;* Θ *240*

2 τοιοῦτο LMO *post* μυκτῆρες *intercidisse uidetur sententia ab* οἱ δὲ *incipiens* 4 ἐκπεπληγμένον *codd.* : *corr. Littré* 5 ἐγγώνιος *Eust.* : ἔγγωνος *codd.* 7 εὐθυωρίαν *Steph.* : εὐθυωρίδ A : εὐθυωσίδ HLMO : ἰθυωρίαν (*uel potius* ἰθυωρίην) *Erot. scripsisse putauerim* 9 καταστείλας A : καταστρώσας HLMO 10 ἐθανατώθη H : ἐτανατώθη *cett.* 14 ἐκχαύνουν· ἐξαπατῶν καὶ μετεωρίζων *codd.* : *corr. Foes 195* 15 εὐαλθά A

54. ἐπιεικῶς· ἱκανῶς. καὶ ἐπιεικῆ τὸν ἱκανὸν οἱ Ἀττικοὶ λέγουσιν.

55. ἐγκύρσαι· ἐγκυράσαι.

56. ἐπουλωθείη· κατουλωθείη.

57. εἰθυλόρδη· εἰς ἰθὺ σκολιά.

58. ἐπιτροχώτερον· εὐφορώτερον.|

72 59. ἐλύτροισιν· ἔλυτρα λέγονται τὰ περιεκτικὰ τῶν σωμάτων, οἷον σκεπάσματα.

60. ἐσμασάμενος· ἐμβαλών.

61. ἐπιστορέσαι· ἐπιστρῶσαι.

62. ἐκπαλήσαντος· ἐκπαλοῦς γενομένου.

63. ἐγχρίμπτουσι· πελάζουσι.

64. ἐπικαρσίην· πλαγίαν.

65. ἔμπηροι· πηρὸν λέγει Βακχεῖος τὸν χωλόν. δυνατὸν δὲ ἀκούειν πάντα τὸν περὶ τὰς φυσικὰς ἐνεργείας ἐμποδιζόμενον.

66. ἐσκεδασμένη· σκορπισθεῖσα.

67. εὐφρόνας· τὰς νύκτας.

68. ἐκλέψας· ἀπολεπίσας.

54. *De artic. 5 (IV 88, 6 L. = II 117, 10 Kw.)* ἐπιεικέως **55**. *De artic. 11 (IV 108, 4 L. = II 129, 7 Kw.)* ἐγκύρσῃ **56**. *De artic. 11 (IV 112, 15 L. = II 131, 16 Kw.)* ἐπουλωθείη **57**. *De artic. 45 (IV 194, 6 L. = II 173, 7 Kw.)* ἰθυλόρδη **58**. *De artic. 14 (IV 126, 8 L. = II 139, 1 Kw.)* ἐπιτροχώτερον *fragm.* **86** *Greg. Cor. Ion. 186* **59**. *De artic. 45 (IV 190, 9 L. = II 172, 1 Kw.)* ἐλύτροισιν *Gal. XIX 97, 10 K. Hes. II 71, 44* **60**. *De artic. 46 (IV 198, 3 L. = II 175, 1 Kw.)* ἐσμασάμενος *fragm.* **53 (90)** **61**. *De artic. 47 (IV 204, 2 L. = II 177, 12 Kw.)* ἐπιστορέσαι **62**. *e libro De artic. fluxisse uidetur* **63**. *De artic. 60 (IV 258, 4 L. = II 209, 3 Kw.)* προσεγχρίμπτουσιν **64**. *an De cap. uuln. 1 (III 182, 11 L. = II 1, 15 Kw.)* ἐπικαρσίη? **65**. *De morb. I 3 (VI 144, 13 L.)* ἔμπηροι **66**. *De morb. I 7 (VI 152, 11 L.)* σκεδασθεῖσα **67**. *De mul. aff. I 1 (VIII 12, 10 L.)* εὐφρόνας **68**. *De mul. aff. I 81 (VIII 202, 15 L.)* ἐκλέψαντα

3 ἐγκύρσαι *om.* HLMO 4 κατουλωμένη A 5 εἰθυλόρδη *scripsi*: εὐθυλόρδη *Foes 279 Klein* : εἰλώρδη K : εἰλώσδη ALM : ἀλωσδή HO 6 ἐπιτυχώτερον HLMO 7 ἔλυτα LMO 12 ἐγχρίπτουσι HLMO 19 ἔκλαψας· ἀπελέπισας *codd.* : *correxi praeeunte Foes 186*

69. ἐμυλώθη· ἀντὶ τοῦ ἐτυλώθη. μύλον γὰρ καλοῦσιν οἱ ἰατροὶ τὸν ἐν τῇ ὑστέρᾳ γινόμενον σκῖρον.

70. εὐλῶν· τῶν σκωλήκων.

71. ἔλαιον ὑός· τὸ ὕειον στέαρ.

72. ἐκτόμου· Διοκλῆς φησιν οὕτω καλεῖσθαι τὸν μέλανα ἐλλέβορον. |

73. ἐκθέωσιν· ἐκτρέχωσι. 73

74. ἐγχρίμπτειν· ἐμπηδᾶν.

75. ἐκθύει· ἐξορμᾷ.

76. ἐπηλυγάζονται τὰ ἐπιμήνια· ἀντὶ τοῦ ἐμποδίζονται. ἠλύγη γὰρ παρ' Ἀττικοῖς ἡ σκιὰ λέγεται. καὶ Θουκυδίδης ἐν ϛ´ φησί· 'τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζονται'.

77. ἐσαφάσῃς τῷ δακτύλῳ· ἀντὶ τοῦ ἐφάψῃ. εἴρηται δὲ παρὰ τὸ ἐπαφᾶσθαι.

78. ἐκπατίως· ἐκτρόπως. καὶ . . . . ὁδοῦ ἀγνοοῦντες. ἔνιοι δὲ γράφουσιν ἐκπάγλως.

79. ἐχῖνον καινόν· χύτραν καινήν. ἔστιν ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως

69. *De mul. aff. I 40 (VIII 96, 14 L.)* ἐμυκώθη *Greg. Cor. Ion. 183*
70. *De mul. aff. I 75 (VIII 166, 16 L.)* εὐλέων *Hes. II 225, 75*
71. *De mul. aff. I 65 (VIII 134, 17 L.)* συὸς ἔλαιον **72**. *De mul. aff. I 78 (VIII 188, 15 L.)* ἐκτόμου *Gal. XIX 96, 13 K.* Διοκλῆς] *fr. 151 Wellm.* **73**. *De mul. aff. II 149 (VIII 326, 2 L.)* ἐκθέωσι (ϑ^{H}: ἐκπέσωσι *cett.)* **74**. *De mul. aff. II 137 (VIII 310, 7 L.)* ἐγχρίμψῃ *Greg. Cor. Ion. 184* **75**. *De mul. aff. II 145 (VIII 320, 6 L.)* θύουσιν (ϑ^{H}: ἰθύουσιν *cett.)* ἔξω **76**. *De mul. aff. II 156 (VIII 330, 19 L.)* τὰ ἐπιμήνια ἐπηλυγάζονται *cf.* T **31** 12 Θουκυδίδης ἐν ϛ´] *VI 36, 2* **77**. *De mul. aff. II 163 (VIII 342, 13 L.)* ἐπαφήσῃς τῷ δακτύλῳ **78**. *De mul. aff. II 171 (VIII 352, 1 L.)* ἐκπάγλως *Greg. Cor. Ion. 185* **79**. *De mul. aff. II 206 (VIII 400, 13 L.)* ἐχῖνον καινόν *fragm.* **92**

9 ἐκθύῃ HLMO 10 ἐπιλυγάζονται HLMO 12 ὅπως τῷ κοινῷ . . . ἐπηλυγάζωνται *Thuc.* ἐπιλυγάζονται HLMO 16 *lac. obseru. Klein: interciderunt uelut haec*: παραδόξως. καὶ ἐκπάτιοι, *cf. Greg. Cor.* ἀγνοῦντες A 18 ἔστι γὰρ V^{H}

καὶ Εὔπολις καὶ Μένανδρος ἐν Ἐπιτρέπουσι καὶ Φιλήμων ἐν Μυρμιδόσι. |

74 80. ἐναγίζειν· τοῖς κατοιχομένοις ἢ τοῖς καταχθονίοις θύειν.

81. ἐρυμάτων· στηριγμάτων.

82. εἶργεν· ἐκώλυεν.

83. ἐξίτηλος· ἀσθενής.

ΑΡΧΗ ΤΟΥ Ζ

1. ζώνη· ὁ τόπος, εἰς ὃν ζωννύμεθα. ἔνιοι δὲ τὴν ὀσφὺν ἐνόμισαν.

ΑΡΧΗ ΤΟΥ Η

1. ἤπατος ζύμωσις· οἰδηματώδης ὄγκος.

2. ἠπιαλώδεες πυρετοί· οἱ μετὰ φρίκης καὶ ῥίγους γινόμενοι.

3. ἤρκεσεν· ἐβοήθησεν.

4. ἡδύσμασι· τοῖς χλωροῖς καὶ ξηροῖς ἀρτύμασι. Ἀττικὴ δὲ ἡ λέξις, ὡς καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσι καὶ

1 Εὔπολις] *fr. 415 K.* Ἐπιτρέπουσι] *fr. 185 K. = 10 Körte; uerbum dubit. suppleuit u. 384 Körte* 2 Μυρμιδόσι] *fr. 45 K.* **80**. *Presbeut. (IX 414, 3 L.)* ἐναγίζειν *cf. Hes. II 84, 97* **81**. *Presbeut. (IX 414, 22 L.)* ἐρυμάτων **82**. *Presbeut. (IX 422, 21 L.)* εἶργει **83**. *De alim. 4 (IX 98, 9 L.)* ἐξίτηλος *cf. Hes. II 127, 32*

1. *locum, unde Erot. desumpsit, non repperi cf. Hes. II 260, 32*

1. *Epid. IV 8 (V 148, 16 L.)* ἤπατος ζύμωσις **2**. *Epid. IV 20 (V 156, 20 sq. L.)* (πυρετοὶ) ἠπιαλώδεες **3**. *an Epid. II 2, 1 (V 84, 2 L.)* ἤρκεσε? *cf. Hes. II 289, 5* **4**. *e libro deperdito De sanitate fluxisse uidetur cf. Hes. II 267, 56* 17 Ἱππεῦσι] *678*

2 ἐν Μυρμιδόσι] ὁ μυρμηδός HLMO 8 τοῦ η LO : τοῦ ζ καὶ η M 11 ἀρχὴ τοῦ η *om.* LMO η] ἦτα A 13 φρίκης] φα *(sequ. lac. 3 litt.)* HLMO 15 ἤρκεσεν CK : ἤρκσεν (?) A : ἤρησεν HLMO

Εὔπολις ἐν Εἱλώταις καὶ Μένανδρος ἐν Δαρδάνῳ. ἔνθεν καὶ στέαρ ἡδὺ λέγει ἐν β' Γυναικείων τὸ ἠρτυμένον.

5. ἡμίτομος· ἐπιδέσμου ὄνομα. |

6. ἥρμοσται· ἕδρασται, ἐστήρικται. ἡ μεταφορὰ ἀπὸ 75
τῶν ἑρμασμάτων τῶν τὸν ἱστὸν τῆς νεὼς διακρατούντων, οὐ φορτίου τάξιν ἐπεχόντων, ἀλλὰ τὸ στηρίζειν μόνον. ἕρμα οὖν καὶ ἕρμασμα καὶ ἕρμασις τὸ αὐτὸ δηλοῖ.

7. ἠγκίστρευται· ἀγκιστροειδῶς συμπέφυκεν.

8. ἠγκυροβόλησε· κατήντησεν. ἡ μεταφορὰ ἀπὸ τῶν καθορμιζομένων πλοίων εἴρηται.

9. ἡμιμοίριον· τὸ ἥμισυ τῆς δραχμῆς.

10. ἠρύγγη, πόλιον· βοτανῶν ὀνόματα.

11. ἠνάγκαζεν· ἐβιάζετο.

12. ἠδελφισμένα· ὡμοιωμένα.

13. Ἡρακλείης νόσου· τῆς ἐπιληψίας, διὰ τὸ ἰσχυρὸν τοῦ νοσήματος καὶ δυσκαταμάχητον, ὡς μαρτυρεῖ καὶ Ἀριστοτέλης ἐν τοῖς Κωμικοῖς. ἔνιοι δέ φασι τὴν μανίαν εἰρῆσθαι, ἐπειδὴ τούτῳ τῷ πάθει μόνῳ ὁ ἥρως ἑάλω. |

14. ἡμιεκτέον· τὸ ἥμισυ τοῦ ἑκτέως. ἑκτεὺς δὲ λέγε- 76

1 Εἱλώταις] *fr. 145 K.* Δαρδάνῳ] *fr. 108 K.* 2 β' Γυναικείων] *an II 205 (VIII 392, 20 L.)* στέαρ ἡδυντόν? 5. *De med. off. 7 (III 292, 1 L. = II 34, 9 Kw.)* ἡμίτομον *fragm.* **66** 6. *De med. off. 8 (III 294, 5 L. = II 34, 17 Kw.)* ἡρμόσθαι *fragm.* **67** 7. *De oss. nat. 14 (IX 186, 21 L.)* ἐγκισσεύεται 8. *De oss. nat. 18 (IX 194, 5 L.)* ἠγκυροβόληται 9. *De ulcer. 12 (VI 414, 5 L.)* ἡμιμοίριον. ἡμιμοίρια 10. *De ulcer. 11 (VI 410, 7 L.)* πόλιον; *ibid. Erot.* ἠρύγγη *legisse uidetur* 11. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat* 12. *De uictu acut. I 10 (II 298, 1 L. = I 125, 20 Kw.)* ἠδελφισμένα *Greg. Cor. Ion. 188* 13. *De mul. aff. I 7 (VIII 32, 23 L.)* Ἡρακλείης νούσου 16 Ἀριστοτέλης ἐν τοῖς Κωμικοῖς] *an Probl. XXX* ι *(p. 953ᵃ, 10 B.)? cf. app.* 14. *De mul. aff. II 114 (VIII 246, 10 L.)* ἡμίεκτον *fragm.* **94**

1 Εἱλώταις *Meineke F. C. G. II* ι *484* : κλωταῖς A : κλοταῖς HLMO ἔνθεν] ὅθεν H 2 β' AM : δευτέρῳ HLO 3 ἡμίτος H : ἡμίτο LMO 4 ἥρμισται HLMO ἥδρασται *Klein* 11 δραχμῆς CK *edd.* 14 ὡμομομένα HLMO 17 Κωμικοῖς *uix sanum* : Προβλήμασιν *coni. Bournot Philol. IV (1849) 274* 18 τῷ πάθει A : τῶν πάλαι HLMO 19 ἡμιεκτέον *Klein* : ἡμιεκτέα H V^{H} : ἡμισεκτέα *cett.* ἑκτέως A¹ V^{H} : ἑκτέου AHLMO

ται Ἀττικὸν μέτρον ἔχον χοίνικας ὀκτώ, ὥς φησι Μένανδρος ἐν Βοιωτίᾳ·

οὐκ ἔστιν ἐκτεὺς τοῦτο, μὰ τὸν Ἀσκληπιόν.

καὶ Ἀριστοφάνης·

ἐκτεὺς δέ ⟨γ'⟩ ἐστὶν ἑξαχοίνικον μέτρον.

ΑΡΧΗ ΤΟΥ Θ

1. θωρῆξαι· οἰνοποτῆσαι. ἐπεὶ καὶ ἡ οἰνοποσία θώρηξις ὑπ' αὐτοῦ λέγεται καὶ μέχρι νῦν τοὺς μὴ ἐπὶ πλέον οἰνωμένους ἀκροθώρηκας καλοῦμεν.

2. θαμινά· πυκνά. κεῖται καὶ ἐν τῷ Περὶ αἱμορροΐδων.

3. θερμωλή· ὁ πυρετός. μήποτε καὶ πᾶσα θερμασία ὑπ' αὐτοῦ θερμωλὴ λέγεται·

4. θαλάμαι· αἱ καταδύσεις.

5. θράσσει· Βακχεῖός φησι κινεῖ, νύττει, Ἡρακλεί-
77 δης ὁ Ταραντῖνος | ἐρεθίζει. ἔστι δὲ ὀχλεῖ, ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει φησί·

γυναῖκα δ' ἐξελόντες, ἢ θράσσει γένυν
τε ὡς τοῦ μὲν ἔωλον γραφίοις ἐνημμένοις.

2 Βοιωτίᾳ] *fr. 91 K.* 4 Ἀριστοφάνης] *fr. inc. 640 K.*

1. *Epid. II 5, 10 (V 130, 11 L.)* θωρῆξαι *cf. Hes. II 334, 18* 2. *De loc. in hom. 14 (VI 306, 10 L.)* θαμινά *cf. Hes. II 299, 82* Περὶ αἱμορροΐδων] *De fist. 7 (VI 454, 4 L.)* 3. *De loc. in hom. 19 (VI 312, 3 L.)* θερμωλήν *Greg. Cor. Ion. 189* 4. *De arte 10 (VI 18, 12 L. = 50, 20 G.)* θαλάμας *Greg. Cor. Ion. 190* 5. *De arte 46 (IV 200, 3 L. = II 176, 4 Kw.)* ἐνθράσσει *cf. Gal. XIX 98, 4 K.* 17 Ἑλένης ἀπαιτήσει] *fr. 179 N.*

2 βυωτίᾳ V^{II} : βοιτίᾳ *codd.* 3 τοῦτο *Bentley* : τουτί *codd.* V^{II} 4 *post* Ἀριστοφάνης *add.* φησί V^{II} 5 γ' *add. Fritsche* ἐξχοίνικον HLMO 7 θορίξαι HLMO : θοάξαι A : *corr. Steph.* θόριξις ὑπ' αὐτοῦ A : ὑπ' (ἀπ' H) αὐτοῦ θώριξις HLMO 9 ἀκροθόρικας *codd.*

6. θύσσειν· μαίνεσθαι, ὡς καὶ Ἀριστοφάνης ὁ γραμματικός. τινὲς δέ φασι τὸ κατὰ ψυχὴν ἐξίστασθαι.

7. θυημάτων· ἀρωμάτων.

8. θύνων· ὁρμῶν, ὡς καὶ Ὅμηρος·

θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικώς.

9. θεωρούς· θεωροὶ λέγονται οἱ εἰς θεοὺς πεμπόμενοι χρησμῶν ἐπισκέψεως χάριν.

ΑΡΧΗ ΤΟΥ Ι

1. ἰητρείην· θεραπείαν.

2. ἴσχειν· συλλαμβάνειν.

3. ἰδίειν. ἱδροῦν. |

4. ἰπνοῦ· καμίνου, οἱ δὲ φούρνου. καὶ γὰρ ὁ φοῦρνος 78 ἰπνὸς λέγεται, ὡς καὶ Ἀριστοφάνης ἐν Σφηξίν·

εἰς τὸν ἰπνὸν ἐχ' ἡμῖν πλησίον τοὐπιστάτου.

5. ἱμείρομαι· ἐπιθυμῶ. ἵμερος γὰρ ἡ ἐπιθυμία, ὡς Ὅμηρος·

ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.

6. ἰκέλη· ὁμοία.

6. *non repperi* *Greg. Cor. Ion. 191* Ἀριστοφάνης ὁ γραμματικός] *fr. LXIX N.* **7**. *De mul. aff. I 16 (VIII 54, 6 L.)* θυμιημάτων (θυωμάτων ϑ^{II}) **8**. *non repperi* Ὅμηρος] Ε *87* **9**. *Presbeut. (IX 406, 25 L.)* θεωρούς *(*C^{II} *:* γεωργοὺς *cett.)*

1. *De ulcer. 10 (VI 408, 12 L.)* ἰητρείην **2**. *Epid. II 2, 18 (V 90, 13 L.)* ἴσχειν **3**. *De a. a. l. 8 (II 34, 10 L.=I 44, 22 Kw.)* ἰδίει *(cod. Gadald. :* διίει *cett.)* *Hes. II 343, 99* **4**. *exstat De morb. II 47 (VII 68, 11 L.)* ἰπνοῦ, *sed uix inde petitum* *cf. Hes. II 364, 77*

13 Σφηξίν] *immo Au. 437* **5**. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat* 16 Ὅμηρος] Γ *446* **6**. *Epid. IV 38 (V 180, 7 L.)* εἰκέλη *Hes. II 352, 53*

1 θύσσειν *scripsi* : θρίσσειν AH *Greg. Cor.* : θρίσσει LMO 2 τινὲς *scripsi* : θρίσσειν *codd. Greg. Cor.* 3 θοημάτων HLMO 9 ἰητρεῖον HLMO θεραπεία HLMO 13 σφηξίν H : σφηγξίν *cett.* 14 ἐχ' ἡμῖν] εἴσω *Aristoph.* 15 ὡς Ὅμηρος *om.* HLMO

7. ἰκμαλέα· τὰ δίυγρα καὶ ἱκανὴν ἔχοντα ἰκμάδα.

8. ἰχθύημα· ῥίνημα ἢ πρίσμα.

9. ἱππάκη· ἵππιος τυρός.

10. ἶνες· οἱ μὲν τὰ νεῦρα, οἱ δὲ τὰς συνθετικὰς τούτων κτηδόνας.

11. ἰνηθμός· κάθαρσις κοιλίας.

12. ἰνήσεται· καθαρθήσεται. καὶ ἴνησις ἡ κάθαρσις.

13. ἰθαγενές· αὐθιγενές.

14. ἰσάτις· βοτάνης ὄνομα. |

79 15. ἰσοκνήμου † δι᾽ ἕδρυος· τοῦ ἴσου καὶ ὁμαλοῦ.

16. ἵδρυτο· ἐνεκάθητο. Ἐπικλῆς δὲ κατέστη εὐσταθῶς. ἔστι δὲ μᾶλλον ἐνεκάθητο, ὡς καὶ Ὅμηρος·

> πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
> ἀμφοτέρων ἕλε χεῖρα καὶ ἵδρυσεν παρὰ δαιτί.

17. ἰξύϊ· ὀσφύϊ.

18. ἰξαλῆ· τελείας αἰγὸς δέρμα, ἣν μηλωτὴν καλοῦσι.

19. ἰδνώθη· συνεκάμφθη, ὡς καὶ Ὅμηρος·

> πλῆξεν. ὁ δ᾽ ἰδνώθη.

20. ἶκταρ· ἐγγὺς παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ Αἰσχύλος ἐν Εὐμενίσι φησί·

> χαίρετε Ἀττικὸς λεώς,
> ἴκταρ ἥμενοι Διός.

7. *De nat. pueri 24 (VII 520, 3 L.)* ἰκμαλέα 8. *De ulcer. 13 (VI 416, 9 L.)* ἰχθυήματα *cf.* Λ 20 9. *De a. a. l. 18 (II 68, 21 L. = I 61, 4 Kw.)* ἱππάκην 10. *De loc. in hom. 5 (VI 284, 13 L.)* ἶνες 11. *De loc. in hom. 17 (VI 310, 10 L.)* ἰνηθμός 12. *De loc. in hom. 27 (VI 318, 13 L.)* ἰνήσεται 13. *De mul. aff. I 71 (VIII 148, 25 L.)* ἰθαγενές 14. *De ulcer. 11 (VI 410, 15 sq. L.)* ἰσάτιδος 15.—17. *e libro deperdito De uuln. et tel. fluxisse uidentur* 12 Ὅμηρος] γ *36*
18. *De fract. 29 (III 516, 6 L. = II 90, 3 Kw.)* ἰξαλῆν *Gal. XIX 106, 7 K.* 19. *De mul. aff. I 2 (VIII 14, 10 L.)* ἰδνωθῇ Ὅμηρος] Β *266*
20. *fort. De mul. aff. II 174 (VIII 354, 4 L.)* ἧπαρ *cf. Gal. XIX 105, 17 K.* 20 Εὐμενίσι] *998*

2 ἰχθύημα *scripsi* : ἰχθύην *codd.* 14 χεῖρας *codd.* 18 πλῆξε δ᾽ ἰδνώθη LMO 21 ἀττικοὶ Α : ἀστικὸς *Aeschyl.* 22 ἰκταρὴν μὲν οἷο *codd.* : *ex Aesch. corr. Steph.*

μέμνηται ὁ αὐτὸς τῆς λέξεως καὶ ἐν Ἠδωνοῖς. οἱ δὲ περὶ Ἰσχόμαχον καὶ Κυδίαν τὸν Μυλασέα ἔγραψαν ἴκμαρ. αἴτιον δὲ τούτου ἡ τῆς λέξεως ἄγνοια.|

ΑΡΧΗ ΤΟΥ Κ 80

1. καμπύλον· τὸ μὴ ὀρθόν, ἀλλὰ σκολιῶς συγκεκαμμένον. εἴρηται ἀπὸ τῶν κεκαμπυλωμένων ξύλων.

2. καρδαμύσσειν· καὶ σκαρδαμύσσειν γράφεται. ἔστι δὲ τὸ συνεχῶς τὰ βλέφαρα κινεῖν καὶ εἰς ἐπίμυσιν ἄγειν. ἰδίως οἱ Ἀττικοὶ λέγουσι. εἴρηται δὲ ἀπὸ τοῦ καρδάμου, ὃ ἄν τις προσενέγκηται, συνεχῶς τὰ βλέφαρα ἐπιμύει.

3. κόσμου· τάξεως. Ἀττικὴ δὲ ἡ λέξις. καὶ γὰρ κοσμίους λέγομεν τοὺς εὐτάκτους καὶ κοσμητὰς τοὺς τῆς ἐφήβων εὐταξίας προνοοῦντας.

4. καρδιώσσειν· καρδίαν ἐκάλουν οἱ παλαιοὶ καὶ τὸ τῆς γαστρὸς στόμα, ὃν καὶ στόμαχον κοινῶς καλοῦμεν. καρδιώττειν οὖν καὶ καρδιαλγεῖν λέγεται τὸ μετὰ ναυτίας καὶ ὀδύνης ἀνιᾶσθαι τὸν στόμαχον. καὶ καρδιωγμὸς ἐντεῦθεν ἀντὶ τοῦ ὁ τοῦ στομάχου δηγμός. ἔστι δὲ καὶ ἕτερος καρδιωγμὸς ὁ τῆς καρδίας κυρίως τοῦ σπλάγχνου δηγμός, τουτέστιν ἀθρόως καὶ σφοδρῶς [καὶ] παλμὸς ἐν αὐτῷ γινόμενος.

5. κωματώδεες· οἱ μετὰ κώματος καταφερόμενοι. κῶμα γὰρ ὁ ὕπνος | καὶ οἷον κοίμημα. οἱ οὖν μετά τινος νωθρείας 81
ἐν καταφορᾷ ὄντες κωματώδεις καλοῦνται.

6. κλαγγώδη· Δημήτριος μὲν ὁ Ἐπικούρειος κλαγγώδη ὄμματα ἐνόμισε τὰ εὐκίνητα, δεινῶς ἁμαρτάνων. οὐ

1 Ἠδωνοῖς] *fr. 67 N.*

1. *Prognost. 2 (II 118, 3 L. = I 81, 2 Kw.)* καμπύλον **2.** *e Prognost. fluxisse uidetur* **3.** *Prognost. 20 (II 170, 11 L. = I 101, 9 Kw.)* κόσμου **4.** *Prognost. 24 (II 184, 15 L. = I 106, 15 Kw.)* καρδιώσσειν 16 καρδιαλγεῖν] *fragm.* **24** **5.** *Prorrhet. I 1 (V 510, 1 L.)* κωματώδεες **6.** *Prorrhet. I 17 (V 514, 10 L.)* κλαγγώδης

1 ἡδώνιος *codd.* : *corr. Steph.* 9 εἴρηται δὲ ἀπὸ τοῦ καρδάμου *om.* HLMO 17 καρδιωγμὸν HLMO 19 δηγμός *Foes 306* : διωγμός *codd.* 20 ἀθρόος καὶ σφοδρὸς *coni. Klein* καὶ *del. Klein*

γὰρ κατὰ τῶν ὀμμάτων εἴρηται κλαγγή. ποιά τις οὖσα ἐκφώνησις, ὁποίαν μάλιστα ἐργάζεται ἔμετος ἀσώδης. ἔστι δὲ ἡ ἀρχομένη ἀπὸ βαρείας καὶ λήγουσα εἰς ὀξὺ ὥσπερ ἀπαυδῶντός τινος. Βακχεῖος δέ φησι κλαγγώδη εἶναι φωνὴν τὴν συνεχῆ καὶ ἀδιάλειπτον. ὁ δὲ Κιτιεὺς Ἀπολλώνιος τὴν μετ᾽ ἐγκοπῆς καὶ ἀνωμαλίας, ἔτι δὲ ἀσαφείας, ὁποία μάλιστα συμβαίνει τοῖς μεθύουσι.

7. καρῶδες· καρηβαρικὸν ἢ καρωτικόν.

8. κερχνώδεα· οἱ δὲ καρυκώδεα γράφουσι καὶ κερκώδεα. ἔστι δὲ τὰ τραχείας ἐπαναστάσεις ἔχοντα. καὶ παρὰ τοῖς Ἀττικοῖς κερχνώδη ἀγγεῖα λέγεται τὰ τραχείας ἀνωμαλίας ἔχοντα, ὡς καὶ Σοφοκλῆς περὶ τῆς ἀποταυρουμένης φησὶν Ἰοῦς·

τραχὺς † φ̃ χελώνης κέρχνος ἐξανίσταται. |

82 9. κορδίνημα· γράφεται καὶ σκορδίνημα. καρηβαρίαν δὲ σημαίνει παρὰ τὸ τὸ κάρα δινεῖσθαι, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι.

10. κόλλικες· ἀρτίσκων εἶδος ὡς πλακούντων, ὧν καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι μέμνηται λέγων·

ὦ χαῖρε, κολλικοφάγε.

τινὲς δὲ τὰ ἴτρια ἐνόμισαν.

11. καρφαλέον· κατάξηρον.

7. *Prorrhet. I 63 (V 526, 5 L.)* καρῶδες **8**. *Epid. II 3, 1 (V 102, 3 L.)* κεγχρώδεα 12 Σοφοκλῆς] *Inach. fr. 257 N.* **9**. *Epid. II 3, 1 (V 102, 17 L.)* σκορδίνημα *cf.* Σ **5** 17 Ἀχαρνεῦσι] *30* σκορδινῶμαι **10**. *Epid. II 6, 29 (V 138, 9 L.)* κόλλικας 19 Ἀχαρνεῦσι] *872* **11**. *Epid. III 17 aeg. 15 (III 146, 2 L. = I 244, 12 Kw.)* καρφαλέου *cf. Hes. II 417, 30*

5 συνεχῶς HLMO ἀδιάληπτον *codd.* : *corr. Steph.* κητιεὺς *codd.* 8 καρηβαρίαι HLMO καρωτικαί H 9 κερχνώδα A : κερχνώδη HM : κερχνῶδαι LO καρυκώδα A : καρυκώδη HMO : καρυκώδαι L γράφουσιν *post* κερκώδη *transp.* HLMO κερκώδα A : κερκώδη HLMO 10 ἐπαναστάσεις] ἀνωμαλίας ἐστάσεις C καὶ . . . 12 ἔχοντα *om.* K 13 Ἰοῦς *Elmsley Edinburgh Review XVII (1810) 237:* ἰχθῦς *codd.* 14 φ̃ *del. Elmsley* χελώνης] κορώνης *M. Schmidt* 20 κολλιφάγε *codd.* 21 *post* δὲ *lac. 21 fere litt., dein* κολλιφάγε τινὲς δὲ *iter.* MO ἴτρια *Eust.* : ἠτρία *codd.*

12. κενέβρεια· τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀριστοφάνης·

> οὐκ ἔσθω κενέβρειον· ὅταν θύῃς τι, κάλει με.

καὶ ἡ ἀγορὰ δέ, ὅπου πωλεῖται τὰ τοιαῦτα, κενέβρειον λέγεται.

13. καρυκοειδέα· καρύκη εἶδός ἐστιν ὑποτρίμματος ἐκ
πλειόνων ἀρτυμάτων συντιθέμενον. καρυκεύειν δὲ τὸ ταράτ-
τειν. ἣν καρύκην φασὶν αἱματώδη τὴν χροιὰν ἔχουσαν.
ἔνιοι δὲ τὴν παρ' ἡμῖν | καλουμένην αἱματείαν καρύκην ὠνό- 83
μασαν, οὐκ ὀρθῶς. ὅτι δὲ τρίμματός ἐστιν εἶδος ἐξ ἀρτυ-
μάτων, μαρτυρεῖ καὶ Φιλοκράτης ὁ Σάμιος καὶ ἄλλοι.

14. κοιλίης ταραχὴ ἠλεκτρώδης· ἀντὶ τοῦ λαμπρὰ καὶ στίλβουσα. εἴρηται δὲ παρὰ τὸ ἤλεκτρον ἠλεκτρώδης ἡ τοιαύτη ἔκκρισις.

15. κέδματα· κέδματα λέγονται αἱ χρόνιαι περὶ τὰ ἄρθρα διαθέσεις.

16. κυκεών· πόμα μετ' ἀλφίτου τεταραγμένον. καὶ κυκᾶν τὸ ταράττειν.

17. κοτυληδόνας· ταύτας οὐ μόνον Ἱπποκράτης, ἀλλὰ καὶ Διοκλῆς ἱστορεῖ παρ' ἑκάτερον μέρος τοῦ τῆς μήτρας . . . . εἶναι κοιλότητάς τινας καμαροειδεῖς, ἐν αἷς φησι τὴν ἀνατροφὴν τοῦ ἐμβρύου γίνεσθαι. ὅτι δὲ ψεῦδος παραδεδώκασιν, ἀλλαχόσε δείξομεν.

12. *ex Epid. III aut IV fluxisse uidetur* 2 Ἀριστοφάνης] *fr. inc. 693 K.* **13.** *Epid. IV 25 (V 164, 12 L.)* καρυκοειδέα **14.** *Epid. IV 38 (V 180, 11 L.)* κοιλίης ταραχὴ ἠλεκτρώδης **15.** *Epid. VI 5, 15 (V 320, 1 L.)* κεδμάτων *fragm.* **54** *Hes. II 454, 77* **16.** *Epid. VI 6, 3 (V 324, 5 L.)* κυκεών **17.** *Aphor. 5, 45 (IV 548, 2 L.)* κοτυληδόνες 20 Διοκλῆς] *fr. 27 Wellm.*

3 ἔσθ' ὁ *codd.* : *corr. Heringa 165* 4 κενέβρεια καλεῖται HLMO 6 ὑποτρίμμεστος HMO 8 χροὰν HLMO ἔχουσα Λ 9 αἱματίαν *Klein* 12 ἠλεκτριώδης *codd.* : *corr. Stephanus Thes. IV 128* 13 ἠλεκτριώδης Λ : ἠλεκτρυώδης HLMO 15 κεδματώδεα· κέδματα *codd.* : *correxi* 18 κυκτᾶν ὁ ταράττων HLMO 21 *lac. indic. Klein,* στόματος *aut* τραχήλου *intercidisse putat:* πυθμένος *Wellmann* καμαροειδῆς C : μακροειδεῖς K : μαροειδεῖς *cett.*

18. κλαυθμώδεες ἀναπνοαί· ἀντὶ τοῦ συνεχεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν κλαιόντων παιδίων.

19. κύσσαρον· τὸν κυσόν.

20. καταμηνίων λύσιν· ἀντὶ τοῦ ἐπέλευσιν. |

84 21. κοιλίη πυρετώδης· ἡ θερμοτάτη.

22. κατεφρόνεε· κατενόει. φρονεῖν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν, ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ φάσκει·

φρονῶ δ' ὃ πάσχω, καὶ τόδ' οὐ μικρὸν κακόν.

μέμνηται καὶ Σοφοκλῆς ἐν †Ἀχαιάδι καὶ ἐν Ἀμφιαράῳ.

23. κανονίαι· Ἐπικλῆς φησι μακροὶ καὶ εὐμεγέθεις. εἰσὶ δὲ μᾶλλον οἱ ὄρθιοι καὶ λεπτοί.

24. †κατέρυθ . .· κατὰ φύσιν, κατὰ μέγεθος.

25. κωφοῖ· λύει, παύει τὰς ὀδύνας.

26. κωφωθῇ· βλαβῇ, παρεμποδισθῇ.

27. κίθαρος· παρὰ Δωριεῦσιν οὕτως ὁ θώρηξ καλεῖται.

28. κυβίτῳ· Βακχεῖός φησι κυβοειδεῖ ὀσταρίῳ, τῇ πτέρνῃ. οἱ δὲ πλείους τῷ ἀγκῶνι.

29. κατακρούειν· κατασχίζειν.

30. κνιπότητα· ξηροφθαλμίαν. |

18. *Aphor. 6, 54 (IV 576, 15 L.)* κλαυθμώδεες ἀναπνοαί **19**. *De nat. pueri 17 (VII 498, 14 L.)* κύσσαρον **20**. *De nat. pueri 30 (VII 534, 5 L.)* καταμηνίων κάθαρσιν **21**. *De a. a. l. 9 (II 38, 13 L. = I 47, 11 Kw.)* κοιλίη πυρετώδης **22**. *e parte deperdita libri De a. a. l. (II 56, 2 L. = I 54, 17 Kw.) fluxisse uidetur* 7 Ἀντιόπῃ] *fr. 205, 1 N.* 9 Σοφοκλῆς] *Alead. fr. 88 N.* Ἀμφιαράῳ] *fr. 115 N.* **23**. *De a. a. l. 24 (II 88, 2 L. = I 69, 1 Kw.)* κανονίαι **25**. *De hum. usu 1 (VI 118, 12 L.)* κωφοῖ **26**. *De loc. in hom. 2 (VI 280, 5 L.)* κωφωθῇ **27**. *De loc. in hom. 3 (VI 282, 19 L.)* κίθαρον *Gal. XIX 111, 16 K.* **28**. *De loc. in hom. 6 (VI 286, 14 L.)* κυβίτῳ **29**. *De ulcer. 24 (VI 428, 14 L.)* κατακρούειν *Gal. XIX 109, 11 K.* **30**. *De loc. in hom. 13 (VI 300, 1 L.)* κνιπότητα *cf. Gal. XIX 112, 14 K.*

1 κλαυθμώδιες A 3 κίσσαρον· τὸν κισσόν *codd.* : *corr. Foes 366* 5 θερμότης HLMO 8 δ'] ἃ *Stob. Flor. 99, 12* σμικρὸν *Stob.* 9 Ἀχαιάδι] Ἀλεάδαις *Schleusner Nauck: an* Ἀχαιῶν συνδείπνῳ? 10 κακόνιαι *codd.* : *corr. Steph. 137* καὶ οὐ μεγέθεις HLMO 14 ἐβλάβη *codd.* : *corr. Klein* 15 θώρηξ A : θώραξ HLMO

31. καμμάρῳ· αὕτη ἡ λέξις τῶν ἅπαξ εἰρημένων ἐστὶ 85
περιέχουσα οὕτως· ʽτὰς πυρώσιας μὲν τοῖσι ποτοῖσι καὶ ῥοφήμασιν, ὡς τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ⟨ἐκλύειν ἢ καμμάρῳ ἢ ἄλλῳ τοιούτῳ· καὶ ἐπὴν μὴ λύσῃς τῷ ψυκτηρίῳ φαρμάκῳ,⟩ θερμαντηρίῳ χρῶʼ. Ζεῦξις μὲν οὖν ἐν τῷ β΄ τῶν Ἐξηγητικῶν (τούτου δὲ τὸ βιβλίον) φάρμακόν τί φησιν οὕτως καλούμενον ψυκτικόν. Διοσκουρίδης δὲ ἐν τῷ ε΄ τῶν Ὑλικῶν φησι τὸ ἀκόνιτον εἰρῆσθαι ὑπό τινων κάμμαρον ὡς θηλυφόνον. Λύκος δὲ ὁ Νεαπολίτης ἐν τῷ β΄ τοῦδε τοῦ συγγράμματος Ἐξηγητικῷ διὰ τοῦ ἑνὸς μ φησὶ γράφεσθαι τὴν λέξιν, ὡς εἶναι καμάρῳ, ὅ ἐστιν ἀλειπτηρίῳ, πυριατηρίῳ, ἐσχηματισμένου τοῦ λεξειδίου ἀπὸ τῆς κατὰ τὸ πλεῖστον καμαρωτοῦ σκευασίας. ὑποτίθεται οὖν ὁ Ἱπποκράτης λέγων· ʽἐὰν μή, τὰ ψύχοντα προσάγεινʼ. ἐφʼ ἱδρῶσι δὲ παραλαμβάνει . . . . Στράττιν ἐν †Κυνηγοῖς λέγοντα· . . . Διόδωρος ὁ γραμματικὸς τὸ κάμορον καὶ | Ζήνων ὁ Ἡροφί- 86
λειος κάμμορον ἢ κάμαρόν φησι καλεῖν τὸ κώνειον τοὺς ἐν Ἰταλίᾳ Δωριέας, οἷον κακόμορόν τι ὄν. ἄμεινον δὲ οἶμαι ἀναγεγραφέναι τοὺς περὶ τὸν Ζεῦξιν, εἶτα καὶ Ζήνωνα. εἰκὸς γὰρ τὸ κάμμορον φάρμακόν τι ψυκτικὸν εἶναι ἢ τάχα τὸ κώνειον. καὶ γὰρ τοῦτο τῶν ψυχόντων ἐστὶ καταπλασμάτων. ὁ γὰρ Λύκος τέλεον πεπλάνηται, τοῦ Ἱπποκράτους ὡς εἶδος τῶν ψυχόντων τὸ κάμμορον εἰπόντος. προσ-

31. *De loc. in hom. 27 (VI 320, 5 L.)* καμμάρῳ *Gal. XIX 107, 14 K. (uide supra p. XXIII)* 7 τῷ ε΄ τῶν Ὑλικῶν] *immo IV 76* 15 Στράττιν ἐν Κυνηγοῖς] *Cines. fr. 21 K.* 17 τοὺς ἐν Ἰταλίᾳ Δωριέας] *cf. Epicharm. fr. 60, Sophr. fr. 26, Rhinth. fr. 18 Kaibel*

1 καμμάρως *codd.* : *corr. Steph.* 2 τὰς δὲ πυρώσιας ποτοῖσι *Hipp.* πόνοισι *codd.* 3 τὸ πυρέττειν HLMO ἐκλύειν . . . φαρμάκῳ *om. codd.* : *suppl. Steph. coll. 52, 2. 4 sq.* 5 θερμαντηρίοισι *Hipp.* 6 τοῦτο HLMO 8 κάμμαρον C : κράμμαρον *cett.* 9 θηλύφωνον *codd.* : *corr. Klein* 14 ἐὰν μή, τὰ ψύχοντα προσάγειν] ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι *Hipp.* 15 *lac. indic. Klein* στράττην A : στράτην HLMO Κυνηγοῖς] Κινησίᾳ *Maussac* *Strattidis uerba interciderunt, lac. indic. Klein* 16 τὸ κάμορον *post* ἡρόφιλος *transp.* HLMO ἡρόφιλος *codd.* : *corr. Steph.* 17 φησὶ A : φασὶ HLMO *a Steph. edd.* 18 δωριέσας LMO 20 τὸ] τὸν A 21 ψυχόντων A : ψυκροτάτων HLMO 23 τὸ (?) A : τι HLMO

θεὶς γὰρ καὶ τὰς κοιλίας καὶ τὰ ῥοφήματα ἐπήνεγκεν, ὡς τὸν πυρετὸν ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν ἢ καμμόρῳ ἢ ἄλλῳ τοιούτῳ, ὡς τοῦ καμμόρου ἐν τοῖς ψυκτικοῖς ὄντος. ὁ γὰρ σύνδεσμος οὐκ ἄνευ διαζευκτικοῦ κεῖται. προσθεὶς γὰρ τὸ ψυκτηρίῳ ἢ καμμόρῳ, πέρας οὐ παύεται, ἀλλ᾽ ἐπιφέρει· ʽκαὶ ἐπὴν μὴ λύσῃς τῷ ψυκτηρίῳ φαρμάκῳ, θερμαντηρίῳ χρῶʼ. ἔδει γάρ, εἰ τὸ κάμμορον ἔλεγεν, ἐπενεγκεῖν· οἷον καμμόρῳ. τίνα δὲ λόγον ἔχει ἐπὶ πυρετῶν ἀλειπτηρίας παραλαβεῖν, αὐτὸ τῆς Λύκου φρενὸς ἔργον εἰπεῖν.

32. **καλῶς**· ἀντὶ τοῦ εὐπρεπῶς.

33. **κενεών**· τὸ ἀπὸ τῶν πλευρῶν μέρος ἕως τῶν λαγόνων.

34. **κάπετος**· ὄρυγμα, τάφος. ἐπὶ μέντοι τοῦ ὀργάνου τὸ ὄρυγμα δηλοῖ.

35. **κοιλίη**· πᾶσα ἡ ὑπὸ τὸ διάφραγμα εὐρυχωρία, καὶ ἡ τοῦ θώρακος δὲ ἐνίοτε. καὶ ἡ γαστὴρ αὐτή. καὶ ἡ τῶν ἑλκῶν κοιλότης.

36. **κράδης**· οἱ μὲν τὰ τῆς συκῆς φύλλα, οἱ δὲ τοὺς κλάδους. |

87 37. **κατατάσιας**· τὰς καταθέσεις.

38. † κεάξαι· δῆσαι.

39. **κυκλέοντα**· περιειλοῦντα καὶ περιερχόμενον.

40. **κατατανύσεις**· κατατείνεις.

41. **κατηπορήθη**· ἠδυνατώθη.

32. *De med. off. 4 (III 288, 3 L. = II 33, 9 Kw.)* καλῶς *fragm.* **64** 33. *De med. off. 9 (III 302, 3 L. = II 36, 9 Kw.)* κενεῶνα 34. *Vectiar. 38 (IV 386, 7 L. = II 269, 19 Kw.)* καταγλύφους *cf. Hes. II 408, 00* 35. *De ulcer. 1 (VI 400, 11 L.)* κοιλίη 36. *De ulcer. 12 (VI 416, 2 L.)* κράδης 37. *De fract. 1 (III 412, 2 L. = II 46, 3 Kw.)* κατατάσιας *fragm.* **73** 38. *an De fract. 2 (III 414, 3 L. = II 46, 11 Kw.)* χειρίσαι? *cf. app.* 39. *De fract. 4 (III 432, 3 L. = II 53, 7 Kw.)* κυκλεῦντα *(Bosquillon :* κυκλεῦντας *codd.)* 40. *De fract. 14 (III 466, 9 L. = II 69, 4 Kw.)* κατατανύσῃς 41. *De fract. 33 (III 532, 12 L. = II 97, 12 Kw.)* κατηπορήθη

5 ψυκτηρίῳ *Klein* : ψυκτήριον *codd.* πέρας οὐ παύεται *codd.* : finem non facit *Eust.*, *unde* πέρας οὐ ποιεῖται *Klein* 9 εἰπεῖν] dicere *Eust.* : εἶπεν *codd.* 17 ἑλκῶν] ἐντέρων *coni. Foes 345* 21 κεάξαι] χειρίσαι *conicio* : κεάσαι *Klein* 23 κατανύσσεις *codd.* : *correxi praeeunte Heringa 110*

42. κρεμᾷ· κρεμάσει.

43. κομψευόμενος· πανουργευόμενος, ἐπεὶ καὶ οἱ Ἀττικοὶ τὴν πανουργίαν κομψίαν καλοῦσι καὶ τὸ στρεβλὸν κομψόν, ὡς καὶ Εὐριπίδης.

44. κατατεῖναι· οὐκ ἐπὶ τῆς τάσεως ὁ Ἱπποκράτης τίθησιν, ἀλλ᾽ ἐπὶ τῆς καταθέσεως· ἐξ ὧν φησι· ʽτὸν δὲ ἄνθρωπον πυρίην γε ἣν ἐνδέχηται πολλῷ θερμῷ λοῦσαι. κἄπειτα πρηνῆ κατατεταμένονʼ, τουτέστι κατακεκλιμένον. μικρὸν δὲ ὑποβὰς φησιν· ʻʻἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι τὸ μῆκος τῷ ὑποτεταμένῳʼʼ, τουτέστι τῷ ὑποκειμένῳ. καὶ ἐν τῷ Περὶ ἀγμῶν, ὅταν λέγῃ· ʻʻγνώῃ δ᾽ ἄν τις τὴν ἑαυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμαʼʼ. καὶ νῦν τὸ κατατείνας ἀντὶ τοῦ σχηματίσας τέθεικε καὶ τοῦ καταθεὶς ὑπτίαν αὐτήν. τάσιν γὰρ ἐπιτηδείας χειρὸς οὐκ ἂν εὐχερῶς δύναιτο ποιῆσαι. |

45. καταναισιμοῦται· καταναλίσκεται. 88

46. καταναγκάζεται· ἐκβιάζεται.

47. κιγκλισμὸς ἀκρωμίης· ἀντὶ τοῦ κίνησις τοῦ ἀκρωμίου. κίγκλος δέ ἐστιν ὀρνέου εἶδος πολυκινήτου καὶ πολυταράχου.

48. κραίνουσι· κυριεύουσι, βασιλεύουσι.

42. *De artic. 4 (IV 86, 2 L. = II 116, 4 Kw.)* κρεμάσαι 43. *De artic. 70 (IV 288, 14 L. = II 225, 3 Kw.)* κομψευόμενος 4 Εὐριπίδης] *uelut Suppl. 426* 44. *De artic. 47 (IV 204, 4 L. = II 177, 16 Kw.)* κατατεταμένον 6 φησι] *l. c.* 9 φησιν] *l. c. 204, 11 L. = 178, 4 Kw.* 11 Περὶ ἀγμῶν] *3 (III 424, 4 L. = II 49, 17 Kw.)* 45. *De artic. 11 (IV 108, 15 L. = II 130, 1 Kw.)* καταναισιμοῦται *(restituit Littré: de codd. uide app. Kuehlewcinii) Gal. XIX 109, 15 Kw.* 46. *e libro De artic. fluxisse uidetur* 47. *De artic. 14 (IV 124, 10 L. = II 138, 5 Kw.)* ἀκρωμίης . . . κιγκλισμός 48. *De artic. 45 (IV 190, 10 L. = II 172, 2 Kw.)* κραίνουσι

1 κρέμα· κρεμάσ *codd.* : *leuiter correxi* 6 τὸν δὲ ἄνθρωπον πυριῆσαι ἣν (ἣν δ᾽ $M^{II} V^{II}$) ἐνδέχηται, ἢ (*om.* $M^{II} V^{II}$) πολλῷ καὶ θερμῷ λοῦσαι· κἄπειτα (ἔπειτα B^{II}) πρηνέα κατακλῖναι κατατεταμένον *Hipp.* 10 *post* τὸ μῆκος *add.* τῷ ξύλῳ *Hipp.* 12 γνοίη *Hipp. codd.* ἑωυτοῦ *Hipp. codd.* 14 τοῦ] τὸ HLMO καθεὶς KHLMO ἐπιτηδείας A : ἐπιτηδείως HLMO : ἐπιτηδείαν *Klein* 15 δύναται *codd.* : *correxi* 16 καταναισιμοῦται A : κατανασιμᾶται HLMO : *corr. Steph. 139* 18 κικλησμὸς *codd.* : *corr. Steph.*

49. κυφοῦται ῥάχις· κυρτοῦται.

50. κλέπτεται ἡ ῥαφή· ἀντὶ τοῦ παραλογίζεται, ὡς καὶ ἐν ε' Ἐπιδημιῶν φησιν· 'ἔκλεψαν δέ μου τὴν γνώμην αἱ ῥαφαὶ τοῦ βέλεος ἐν ἑαυταῖς τὸ σίνος ἔχουσαι'.

51. καμπυλεύεσθαι· κάμπτεσθαι.

52. κατάπηροι· καταβεβλαμμένοι. πηροὶ γὰρ λέγονται οἱ ἐπισινεῖς.

53. κόκκαλος· ὁ στρόβιλος.

54. κεκρυφάλῳ· κροκυφάντῳ. ἔστι δὲ τοῦτο κεφαλοδέσμου εἶδος, ὡς καὶ Ὅμηρος·

ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην. |

89 **55.** κεκρᾶκται· φωνητικοὶ καὶ κραύγασοι.

56. Κάσιον οἶνον· ἴσως τὸν Συριακὸν λέγει, καλούμενον ἀπὸ Κασίου ὄρους.

57. καταιγίζωσι· τρέπωσι. καταιγίζειν γὰρ τὸ τρέπειν λέγεται. μήποτε δὲ μᾶλλον ἐπὶ τοῦ ὁρμήσωσι τακτέον τὴν λέξιν, παρὰ τὸν αἰγίοχον.

58. κηριῶν· κηρίαι λέγονται αἱ πλατεῖαι ἕλμινθες.

59. κατηπέδανον· κατησθενηκός, ὡς καὶ Ὅμηρος·

ἠπεδανὸς δέ ⟨νύ⟩ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.

49. *De artic. 41 (IV 178, 3 L. = II 164, 9 Kw.)* κυφοῦται ῥάχις **50.** *De cap. uuln. 12 (III 222, 6 L. = II 15, 2 Kw.)* συγκλέπτει . . . ἡ ῥαφή *cf.* Σ **43** 3 ε' Ἐπιδημιῶν] *27 (V 226, 11 L.)* **51.** *De artic. 46 (IV 200, 1 L. = II 176, 2 Kw.)* καμπύλλεσθαι **52.** *non repperi* **53.** *De uictu acut. II 10 (II 456, 4 L. = I 162, 10 Kw.)* κόκκαλος **54.** *De steril. 219 (VIII 424, 3 L.)* κεκρυφάλῳ 10 Ὅμηρος] Χ *469*
55. *De morbo sacro 15 (VI 388, 15 L.)* κεκρᾶκται **56.** *non repperi* **57.** *De morb. III 7 (VII 126, 12 L.)* καταιγίζωσι **58.** *De morb. IV 54 (VII 594, 18 L.)* ἑλμίνθων τῶν πλατειῶν **59.** *De mul. aff. I 4 (VIII 26, 11 L.)* ἠπεδανόν Ὅμηρος] Θ *104*

3 αἱ ῥαφαὶ ἔχουσαι ἐν σφίσιν ἑωυτῇσι τοῦ βέλεος τὸ σίνος *Hipp.* 8 ὁ (*fin. pag.*) ὀστρόβιλος Λ 9 κεκρυφάλως· κροκυφάντως *codd.* : *corr. Klein* κεφαλοδέσμου εἶδος] κεφαλοδέσμιον HLMO 11 ἠδὲ *codd.* 12 καὶ κραύγασοι *om.* HLMO 13 κάσσειον *codd.* : *corr. Klein praeeunte Foes 311* καλούμενον *Stephanus Thes. IV 1003* : κινούμενον *codd.* : εἰρημένον *coniecerim* κασσείου ΛΗΜ : κασσσείου LO
18 κηρίων Λ : κυρίως HLMO : *ad* υ *suprascr.* η M¹ 20 νύ *add. Steph.*

60. κυρκανᾶται· ταράττεται.

61. κραμβίον· Σικελοὶ τὸ κώνειον οὕτω καλοῦσι.

62. κώφωσις ὀφθαλμῶν· νῦν τὴν κώφωσιν ἀντὶ τοῦ παρεμποδισμοῦ τέταχεν. κυρίως γὰρ ἐπὶ τῆς ἀκοῆς τέταχε.

63. κνήστρου· κνηστῆρος. Νίκανδρός φησι·

σιλφίου, ἣν κνηστῆρι κατατρίψαιεν ὀδόντας.

64. κυρβασίην· τὴν λεγομένην τιάραν. Ἑκαταῖος δέ φησιν, ὅτι πῖλον βαρβαρικὸν οἱ κωμικοὶ λέγουσι. |

65. κρησέρης· κρησέραν λέγει ῥάκος χονδρὸν καὶ ἀραιόν, **90** δι᾽ οὗ διηθοῦσί τινα ὡς δι᾽ ἠθμοῦ. μέμνηται καὶ Ἀριστοφάνης ἐν Ἀττικαῖς λέξεσι.

66. κακήθεα· τὰ κακοήθη.

67. κλισίην· τὴν κλίνην, παρὰ τὸ ἐν αὐτῇ κατακλίνεσθαι.

68. κυρηβίων· τῶν ἀχύρων καὶ πιτύρων. Ἀττικὴ δ᾽ ἡ λέξις.

69. κεάσει· σχίσει.

70. καρκινοῦσθαι· σκληρύνεσθαι.

60. *De mul. aff. I 57 (VIII 114, 11 L.)* κυρκανᾶται **61**. *De mul. aff. I 63 (VIII 130, 1 L.)* κραμβίῳ *Hes. II 529, 40* Σικελοί] *gloss. italiot. 203 Kaibel* **62**. *De mul. aff. I 41 (VIII 100, 14 L.)* κώφωσις . . . ὀφθαλμῶν **63**. *De mul. aff. I 82 (VIII 204, 5 L.)* κνήστρου Νίκανδρος] *Ther. 85* **64**. *De mul. aff. II 186 (VIII 368, 1 L.)* κυρβασίην *Gal. XIX 116, 1 K.* Ἑκαταῖος] *fr. 14 Diels* **65**. *De mul. aff. II 118 (VIII 256, 13 L.)* κρησέρης 11 Ἀττικαῖς λέξεσι] *fr. XXX N.* **66**. *De mul. aff. II 141 (VIII 314, 11 L.)* κακήθεα *Gal. XIX 107, 10 K.* **67**. *De mul. aff. II 143 (VIII 316, 8 L.)* κλισίην **68**. *De mul. aff. II 149 (VIII 326, 5 L.)* κυρηβίων *cf. Gal. XIX 116, 2 K.* **69**. *De mul. aff. II 153 (VIII 328, 2 L.)* κεάσῃ *cf. Hes. II 453, 54* **70**. *De mul. aff. II 159 (VIII 338, 1 L.)* καρκινοῦσθαι

2 κραμβίον A : κραμβεῖον HLMO 3 ἀντὶ τοῦ] ἂν LMO : ἐπὶ H 5 κινήστρου· κινηστῆρος HLMO 6 κατατρίψειαν *Nicander* ὀδόντες *Nicander* 7 κυρβασίαν HLMO 9 κρησέρης *Klein* : κνησέρης *codd.* κρησέραν *Klein* : κνησέρου AMO : κνησέρα H : κνησέρης L λέγεται HLMO 12 κακήθεα *Foes 302* : κικήθα A : κικήθη HLMO 13 αὐταῖς HLMO 15 κηρυβίων *codd.* : *corr. Foes 365* 17 κεάσει· σχίσει A : κεάσαι· σχίσαι HLMO

71. κρημνοί· τὰ χείλη τοῦ γυναικείου αἰδοίου.

72. κόνυζα· λάχανον ὅμοιον σελίνῳ, φυόμενον ἐγγὺς θαλάσσης.

73. κεδρίνῳ ἐλαίῳ· τῇ κεδρίᾳ.

74. κάτοπτρον· ἡ μηλωτίς.

75. κρήγυον· ἀληθές. οἱ δὲ ἀγαθόν, ὡς καὶ Ὅμηρος·

μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρήγυον εἶπας.

ΑΡΧΗ ΤΟΥ Λ

1. λέγων· διακρίνων, καταριθμούμενος, ὡς καὶ Ὅμηρος·

αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων. |

91 καὶ πάλιν·

ἐν δ᾽ ἡμέας πρώτους λέγε κήτεσι.

2. λιμῶδές τι ἔχει αὐτόν· ἀντὶ τοῦ μεγάλη τροφῆς ἀπορία.

3. λαπάσσουσαι· μαλάττουσαι, κενοῦσαι. εἰκὸς δὲ ἀπὸ τοῦ λαπάθου εἰρῆσθαι τὴν λέξιν, ὅπερ ἐστὶ τῆς κοιλίας μαλακτικόν.

4. λαπάρην· τὴν πλευράν.

71. *De mul. aff. II 171 (VIII 352, 1 L.)* τὰ ἀμφὶ τὰ αἰδοῖα **72**. *De mul. aff. II 181 (VIII 364, 7 L.)* κονύζῃ **73**. *De mul. aff. I 78 (VIII 184, 18 L.)* κεδρίνῳ ἐλαίῳ **74**. *De fist. 3 (VI 450, 2 L.)* κατοπτῆρι **75**. *fort. e Presbeut., uelut IX 408, 12 L.* ἀληθέων *cf. Gal. XIX 114, 15 K. cf. Hes. II 533, 53: IV 163, 89* Ὅμηρος] A *106*
1. *Prognost. 1 (II 110, 2 L. = I 78, 3 Kw.)* προλέγων Ὅμηρος] σ *359* 12 πάλιν] δ *452* **2**. *Prognost. 2 (II 114, 10 L. = I 79, 23 Kw.)* λιμῶδές τι ἔχει αὐτόν **3**. *Prognost. 8 (II 130, 18 L. = I 86, 9 Kw.)* λαπάσσουσαι *cf. Gal. XIX 117, 9 K. Hes. III 13, 10 sq.* **4**. *an Prognost. 11 (II 136, 9 L. = I 88, 17 Kw.)* λαπαρήν? *cf. app.*

1 κρήμνη *codd.* : *corr. Klein* 2 κόνυζα *scripsi* : κρύωξα *codd.* 5 μήλωτ *(supra τ ambig. compend.)* A : μηλωτή HLMO 7 εἶπας D[a] : ἔειπας *cett.* 11 δένδρεα H : δένδρα *cett.* 13 κήτεσσι *codd.* 14 λιμῷ δέ τι *codd.* : *correxi praeeunte Eustachio* ἔχε HLMO μεγάλης *codd.* : *corr. Steph.* 19 *si ad Prognost. l. c. (cf. test.) pertinet, hoc fere modo supplendum est* : λαπαρήν· ⟨ἁπαλήν. καὶ λαπάρην⟩ τὴν πλευράν

5. Λιβύῃ, Δήλῳ, Σκυθίῃ· νῦν Ἱπποκράτης ἠθέλησε τὰ τρία κλίματα τῆς οἰκουμένης δηλῶσαι. Λιβύην μὲν ἄντικρυς εἰπών, τὴν δὲ Ἀσίαν διὰ τῆς Δήλου, τὴν Εὐρώπην δὲ διὰ τῆς Σκυθίας.

6. λύγγος· λυγμός.

7. λαπῶδες. Βακχεῖος ἐν β΄ φησὶ τὸ λαμπρὸν καὶ καθαρόν, διὰ τοῦ μ γράφων τὴν πρώτην συλλαβήν, ἵν᾽ ᾖ λαμπῶδες, οὐ δεόντως ἱστάμενος. λάπη γὰρ λέγεται τὸ ἐφιστάμενον τῆς δεδολωμένης οἴνης ἐν τῷ ὄξει, ἔτι δὲ κολυμβάσιν ἐλαίαις οἷόν τι λίπος κολλῶδες. ἔνθεν οὖν λαπώδη ῥητέον τὰ ἔχοντά τινα ἐφιστάμενα ὅμοια λάπῃ. |

8. λαιλαπώδης· λαῖλαψ λέγεται ὄμβρος μετὰ σφοδροῦ **92**
ἀνέμου γινόμενος.

9. λοποί· λεπίσματα παρὰ τὸ λέπεσθαι εἰρημένα.

10. λείως· τελείως.

11. λαπαρά· ἁπαλά.

12. λοχείη κάθαρσις· ἡ μετὰ τὸν τόκον γινομένη.

13. λειμακωδέστεροι· λειμακώδεις λέγονται οἱ λιμνώδεις καὶ κατάφυτοι καὶ ὁμαλοὶ τόποι.

14. λιβρῷ· σκοτεινῷ καὶ μέλανι.

15. λείβονται· σπένδονται.

16. λάπτει· Βακχεῖος γράφει λάζεται. ἔστι δὲ λαμβάνει.

17. λέμμα· ἡ ἐπιδερματὶς καλουμένη.

5. *Prognost. 25 (II 190, 1 L. = I 108, 3 Kw.)* ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκυθίῃ **6.** *Prorrhet. I 23 (V 516, 6 L.)* λυγγός **7.** *Prorrhet. I 92 (V 534, 5 L.)* λαμπῶδες **8.** *Epid. I 4 (II 616, 1 L. = I 184, 11 Kw.)* λαιλαπώδης **9.** *Epid. II 1, 7 (V 78, 6 L.)* λοποί *cf. Hes. III 49, 71* **10.** *Epid. II 1, 7 (V 78, 17 L.)* τελέως *cf. Hes. III 23, 69* **11.** *Epid. II 6, 5 (V 134, 7 L.)* λαπαρά **12.** *De nat. pueri 18 (VII 502, 11 L.)* λοχείῃ καθάρσει **13.** *De a. a. l. 13 (II 58, 6 L. = I 55, 15 Kw.)* λειμακ⟨ωδ⟩εστέροις **14.** *De a. a. l. 15 (II 62, 5 L. = I 57, 16 L.)* διερῷ *V[H]* : θολερῷ *𝔅[II]* *Hes. III 37, 48* **15.–17.** *e Vectiarii parte deperdita fluxisse uidentur* **15.** *cf. Hes. III 20, 17 sq.* **17.** *cf. Hes. III 25, 42*

8 λάμπη *codd.* : *correxi* 9 τῆς δεδολωμένης οἴνης *post* ὄξει *transp. Klein* ἔτι δ///ολυμβάσιν A 10 λαμπώδη *codd.* 11 λαμπτῇ A : λαπτῇ HLMO 14 λόποι A : λέποι HLMO 15 λίως *codd.* : *corr. Klein* 18 λειμακωδέστεροι *scripsi praeeuntibus Schneider Klein* : λιμακέστεροι *codd.* λιμακώδεις *codd.* 22 λαίπτει LMO

18. λοπῷ· φλοιῷ, λεπίσματι.

19. λελυγισμένα· συνεστραμμένα. Ἐπικλῆς δὲ ἐπιπεπλεγμένα. ἔστι δὲ μᾶλλον, ὥς φησι Βακχεῖος, συγκεκαμμένα. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῶν λύγων, ἅπερ ἐστὶν εὔκαμπτα φυτά. |

93 20. λωτοῦ ἰχθυήματα· ἀντὶ τοῦ ῥινίσματα ἢ πρίσματα.

21. λορδότατον· τὸ ἀποσεσιμωμένον καὶ ἐναντίον τῷ κυρτῷ λορδὸν καλεῖται, ὃ δὴ καὶ κυφὸν καλεῖ.

22. λάσιον· ὀθόνιον, ὡς Θεόπομπος ἐν Ὀδυσσεῖ. καὶ Ἀρτεμίδωρος ὁ γραμματικὸς ἐν ταῖς Λέξεσί φησι λινοῦν ὕφος δασὺ εἶναι.

23. λεσχηνευομένου· ὁμιλοῦντος.

24. λύματα· καθάρματα.

25. λεβηρίδος· ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις. Πολέμαρχος δὲ ὁ γραμματικὸς εὐηθέστερόν φησι δυσαγωνίστου καὶ λιμοποιοῦ ζῴου μικροῦ ὄνομα εἶναι τὴν λεβηρίδα μικρῷ λαγωῷ ὁμοίου, ὃ Ῥωμαῖοι μὲν κουνίκλουν καλοῦσι, Μασσαλιῶται δὲ λεβηρίδα. |

94 26. λαπηρόν· ὑγρόν.

18. *Vectiar. 2 (IV 346, 1 sq. L. = II 247, 21 sq. Kw.)* λοπῷ **19**. *Vectiar. 4 (IV 348, 4 L. = II 248, 20 Kw.)* λελυγισμένα **20**. *De ulcer. 13 (VI 416, 9 L.)* τοῦ λωτοῦ τὰ ἰχθυήματα **21**. *De artic. 41 (IV 178, 11 L. = II 165, 3 Kw.)* λορδόν **22**. *De uict. acut. II 14 (II 470, 12 L. – I 166, 9 Kw.)* ἐσθόνιον *A^II* : σίαλον *M^II V^II* Ὀδυσσεῖ] *fr. 36 K.* **23**. *De morb. I 19 (VI 174, 12 L.)* λεσχηνευομένου **24**. *exstat uno loco, De gland. 12 (VIII 564, 22 L.)* λύματα, *sed uix inde petitum Hes. III 56, 13. 17* **25**. *De mul. aff. I 78 (VIII 182, 6 L.)* λεβηρίδος 16 Ἀμφιαράῳ] *fr. 35 K.* 17 Φοινίσσαις] *fr. 49 K.* **26**. *e libro De mul. aff. fluxisse uidetur*

1 λόπῳ *codd.* 6 ὀχθυήματα HLMO ῥινήματα *conicio coll. 46, 2* 8 λορδότον H : λορδόττον LMO 9 κυφὸν *Cobet Klein* : φυτὸν *codd.* 10 Ὀδυσσεῖ *Meineke* : ὀδυσσείᾳ *codd.* 11 *a* λινοῦν *nouam denotant glossam* HLMO 15 ὑμενώδη HLMO ἀποσύρματα *codd.* : *corr. Foes 376* 17 στράτης *codd.* : *corr. Steph.* πηλέμαχος HLMO 21 λαπηρόν *scripsi* : λάμπηρον K : λάππυρον *cett.*

27. λείριον· βοτάνης εἶδος, ἣν κρίνον ὀνομάζομεν. Νίγρος ἐν τῷ Περὶ ὕλης φησὶ καὶ τὸν νάρκισσον παρ᾽ ἐνίοις λείριον καλεῖσθαι.

ΑΡΧΗ ΤΟΥ Μ

1. μαρμαρυγαί· λαμπηδόνες πυκναί καὶ οἷον ἀστραπαὶ πυκναί, αἰφνίδιοι, πυρώδεις, ὡς καὶ Ὅμηρος·

μαρμαρυγὰς θηεῖτο ποδῶν.

2. † Μηριοχάνη· ὄνομα γυναικός.

3. μειοῦσιν· ἐλαττοῦσι.

4. μυττωτόν· οἱ μὲν Ἀττικοὶ ὑπότριμμά τι μετὰ σκορόδου γινόμενον λέγουσι. Εὔπολις δ᾽ ἐν Λάκωσι τὸ ἄμυλον λέγων φησί·

τὰ σκευάρι᾽ ἐποίησε μυττωτόν πολύν.

ἔνιοι δὲ πλακοῦντα διὰ λαχάνου συντεθέντα. οἱ δὲ τὸν λεγόμενον ζῦθον. ἡμεῖς μέντοι γε συγκατατιθέμεθα τοῖς λέγουσιν μυττωτὸν εἶναι τὸ διὰ σκορόδου τρίμμα. εἴρηται δὲ παρὰ τὸ μυσάττεσθαι τὴν δυσωδίαν, ὡς εἶναι μυσσωτόν. |

5. μεγαλόσπλαγχνον· τὸν διὰ φλεγμονὴν ἐν ἐπάρσει τὰ **95**
σπλάγχνα ἔχοντα.

6. Μοδοσαέως· ὄνομα τόπου.

7. μεθίησιν· Ἐπικλῆς μέν φησιν ἐμπίπτει. ἔστι δὲ μᾶλλον ἀφίησι.

27. *De mul. aff. II 179 (VIII 362, 12 L.)* λείριον   2 Περὶ ὕλης] *fr. 16 Wellm. (Dioscur. III p. 148)*

1. *Prognost. 24 (II 184, 14 L. = I 106, 4 Kw.)* μαρμαρυγαί   *cf. Hes. III 72, 5*   6 Ὅμηρος] θ 265   **2.** *Epid. II 1, 12 (V 82, 18 L.)* Μυριοχαύνη   **3.** *Epid. II 1, 8 (V 80, 11 L.)* μειοῦσι   **4.** *Epid. II 6, 28 (V 138, 6 L.)* μυττωτόν   *cf. Gal. XIX 124, 1 K.*   11 Λάκωσι] *fr. 179 K.*   **5.** *Epid. III 17 aeg. 13 (III 138, 1 L. = I 242, 9 Kw.)* μεγαλόσπλαγχνος   **6.** *Epid. IV 45 (V 186, 5 L.)* Μηδοσάδεω   **7.** *De nat. pueri 12 (VII 486, 16 L.)* μεθίησιν

1 ὀνομάζουσι HLMO   7 πολῶν A : πολλῶν HLMO   10 σκορόδου A : σκόρδου HLMO   13 σκευάρια A : συκάρια KHLMO *a Steph. edd.*   15 ζῆθον *codd. : corr. Foes 422*   γε *om.* HLMO   16 σκορόδου A : σκόρδου HLMO

8. μεμιασμένον· λοιμῶδες γεγονός.

9. μᾶσσον· Βακχεῖος μέν φησιν ἔλασσον, Ἡρακλείδης δ᾽ ὁ Ταραντῖνος πλεῖον.

10. μεῖον· ἔλαττον.

11. μᾶζα· φύραμα ἐξ ἀλφίτου γινόμενον, πινόμενον ποτὲ μὲν μετ᾽ ὀξυμέλιτος, ποτὲ δὲ μετ᾽ ὀξυκράτου ἢ ὑδρομέλιτος ἢ μεθ᾽ ὕδατος. ἔστι δὲ τρόφιμον.

12. μανδραγόρου ῥίζαν· περιφραστικῶς τὸν μανδραγόραν.

13. ματεῖσθαι· ζητεῖσθαι. καὶ μάτος ἡ ζήτησις λέγεται.

14. μωμητέον· μεμπτέον. καὶ μῶμος ἡ μέμψις.

15. μεμινυθήκασι· κατισχνάνθησαν.

16. μεμαθήκασι· εἰώθασι. καὶ γὰρ ἡ μάθησις ἔθους ἐστὶν ἄσκησις.

17. μεσσεγγύ· ἐν μέσῳ. |

96 18. μετεξέτεροι· Βακχεῖος ἐν τρίτῳ φησὶν ἕτεροι. ἔστι δὲ μᾶλλον ἔνιοι, ὡς καὶ Ἡρόδοτος ἐν β´ φησί· ``τὰς ζειὰς μετεξέτεροι καλέουσι``.

19. μελέτη· ἐνέργεια.

8. *aut De flat. 5 (VI 96, 15 L. 12, 4 N.) aut De morbo sacro 1 (VI 364, 1 L.)* μεμιασμένον **9**. *De loc. in hom. 43 (VI 336, 11 L.)* πλέον ἢ ἔλασσον *cf. Gal. XIX 120, 7 K. Hes. III 74, 44* **10**. *De prisca med. 8 (I 586, 13 L. = I 8, 20 Kw.)* μεῖον (*M^II* : ἔλασσον *A^II*) *cf. Hes. III 83, 6* **11**. *De prisca med. saepe, uelut 14 (I 600, 11 L. = I 15, 4 Kw.)* μάζης **12**. *De loc. in hom. 39 (VI 328, 17. 19 L.)* μανδραγόρου ῥίζαν **13**. *De artic. 32 (IV 148, 5 L. = II 150, 11 Kw.)* ἐσματεῖσθαι *Gal. XIX 120, 8 K. cf. Hes. III 76, 95* **14**. *e libro De arte fluxisse uidetur, cf. 1 (VI 2, 13 L. = 36, 13 G.)* μωμέεσθαι **15**. *Vectiar. 5 (IV 348, 19 L. = II 249, 16 Kw.)* μεμινυθήκασι **16**. *De uictu acut. II 8 (II 430, 7 L. = I 155, 22 Kw.)* μεμαθήκασι **17**. *De uictu acut. II 11 (II 460, 3 L. = I 163, 7 Kw.)* μεσηγύ **18**. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat cf. Hes. III 99, 67* 18 Ἡρόδοτος ἐν β´] *II 36* **19**. *De mul. aff. I 3 (VIII 24, 2 L.)* μελέτην θ^II

5 πινόμενον *del. Steph., fort. recte* 6 ὀξυκράτους A 14 εἰώθασι· μεμαθήκασι *codd. : transp. Steph. 141* 16 μεσέγγυ LMO 17 τρι´ A

20. μελεδώνης· θεραπείας.

21. μετάρσιον· ὑψηλόν.

22. μύρον Αἰγύπτιον· οἱ μὲν ἐδέξαντο τὸ λεγόμενον ἀπὸ σκάφης. ἔστι γὰρ θερμαντικόν. οἱ δὲ τὸ μαλαβάθρινον. οἱ δὲ τὸ μενδήσιον. καὶ γὰρ ἐν β´ Γυναικείων τὸ αὐτό φησιν ἔλαιον Αἰγύπτιον.

23. μώλυζα· σκορόδου κεφαλὴ βωλοειδὴς καὶ μὴ διαλελυμένη εἰς ἄγλιθας.

24. μαρίλην· οἱ φρυγανώδεις καὶ μικροὶ ἄνθρακες οὕτως ὑπό τινων καλοῦνται. μᾶλλον δὲ ἡ θερμοσποδιὰ μαρίλη λέγεται, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσί φησιν·

> ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
> ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.

καὶ Ἱππῶναξ φησι·

> πολλὴν μαρίλην ἀνθράκων. |

25. μαράσσει· ψοφεῖ. 97

26. μήλην· οὕτω καλεῖ τὴν μηλωτίδα. ἣν γὰρ ἡμεῖς μήλην καλοῦμεν, αὐτὸς ὑπάλειπτρον καλεῖ.

27. μελεδωνέων· μεριμνῶν, θεραπειῶν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν καὶ θεραπεύειν.

20. *De mul. aff. I 36 (VIII 88, 1 L.)* μελεδώνης **21**. *De mul. aff. I 68 (VIII 144, 9 L.)* μετάρσιος **22**. *De mul. aff. I 78 (VIII 190, 15 L.)* μύρον Αἰγύπτιον **23**. *De mul. aff. I 81 (VIII 202, 4 L.)* μώλυζαν *Gal. XIX 124, 3 K.* **24**. *De mul. aff. II 133 (VIII 284, 19 L.)* μαρίλην *cf. Gal. XIX 120, 3 K. Greg. Cor. Ion. 172* 11 Ἀχαρνεῦσι] *350 sq.* 14 Ἱππῶναξ] *fr. 71 B.* **25**. *De mul. aff. II 154 (VIII 328, 16 L.)* σμαραγεῖ **26**. *De fist. 4 (VI 450, 15 L.)* μήλην **27**. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat Greg. Cor. Ion. 173*

1 μελεδώνης A : μελεδώνας LMO : μελεδῶνας H 4 μελαβάθρινον LMO 7 μώλυξ *codd.* : *corr. Foes 423* 8 ἄγλυθας D[a] : ἄιγλιθας A : αἴγλυθας HLMO 9 μαρίλην *Foes 397* : μαριλίνοι A : μαριλῆνοι HLMO 11 καὶ *om.* HLMO 12 μοι συχνὴν] ἁλοσύχνην *codd.* 13 ὁ λάρκος] ἐλάκιος A 18 ὑπάλιπτον *codd.* : *corr. Steph. 141* 19 μελεδωνέων *Schleusner* : μελενδανθέων *codd.* : μελεδανθέων *Greg. Cor.*

28. † μνῶται· κινεῖται ἢ κτείνεται. καὶ γὰρ οὕτως εὕρομεν γεγραμμένην τὴν λέξιν.

ΑΡΧΗ ΤΟΥ Ν

1. νείαιρα γαστήρ· Βακχεῖός φησι τὸ κῶλον, ὅ τινες κάτω κοιλίαν προσαγορεύουσι.

2. νεφέλαι· τὰ ἐφιστάμενα τοῖς διαχωρήμασιν ὑπολίπαρα, ὁτὲ μὲν ὠχρά, ὁτὲ δὲ ξανθὰ ἢ πως ἄλλως κεχρωσμένα. μεταφορικῶς ἀπὸ τῶν ἐν οὐρανῷ νεφελῶν κληθεῖσαι.

3. ναρκώδεις· οἱ ἀπεσκληρυμμένοι καὶ ἀναισθητοῦντες. εἴρηται δὲ ἀπὸ τῆς παθητικῆς γιγνομένης νάρκης. |

98 4. νίωπον· τὸ ἐκ καρύων πικρῶν ἔλαιον, καθὼς καὶ Πετρώνιος ἐν Ὑλικοῖς καὶ Διόδοτος ἐν β´ Μυρολογιῶν φησιν. ἔνιοι μὲν οὖν νίωπον ἐπιμελέστατα ποιοῦσιν οὕτως· χοίνικας καρύων πικρῶν δ´ λαβόντες Ἀττικὰς θλῶσί τε καὶ ξηραίνουσι τὰ ἐν μέσῳ καλῶς, διαδιδόασί τε εἰς ὅλμον καὶ κόπτουσι. δύναμιν δ' ἔχει τὸ νίωπον τήνδε. ὄνομα δὲ τὸ τῶν πικρῶν ἀμυγδάλων ἔλαιον.

5. ναρκῶσαι· πραῦναι καὶ οἱονεὶ εἰς ἀναισθησίαν ἀγαγεῖν τῆς ἀλγηδόνος.

6. νυκτοειδές· ἀντὶ τοῦ μέλαν.

1. *Prognost. 11 (II 134, 16 L. = I 88, 4 Kw.)* κάτω κοιλίη **2**. *Prognost. 12 (II 140, 9 L. = I 90, 8 Kw.)* νεφέλαι **3**. *Prorrhet. I 139 (V 560, 4 L.)* ναρκώδεες **4**. *Epid. V 66 (V 244, 5 L.)* νέτωπον **5**. *Epid. VI 2, 1 (V 276, 8 L.)* ναρκῶσαι **6**. *De a. a. l. 8 (II 34, 15 L. = I 45, 3 Kw.)* νυκτοειδές

1 πλώει· κινεῖται ἢ κτείνεται. ⟨οἱ δὲ πλέει⟩ *emendauerim* 6 ὑφιστάμενα HLMO 8 κληθεῖσαι *Klein* : κινηθεὶς *codd.* : εἴρηται *coniecerim* 9 ἀποσκληρυμένοι *codd.* : *corr. Steph.*: *possis etiam* ἀποσκληρυ⟨νό⟩μενοι 12 μυρολογιῶν *Klein probante Wellmann Pauly-Wissowa V 715* : μυθολογιῶν *codd.* : ἀνθολογουμένων *Nauck Philol. V (1850) 562 coll. Plin. N. H. XX 8, 77* 13 ἔνιοι . . . 16 τήνδε *Diodoto tribuit, de iambis cogitauit Nauck probantibus Klein aliis, uix recte* 14 δ´ *ante* πικρῶν A 15 ξηραίνουσι] ξαίνουσι *Nauck metri causa, at cf. Dioscur. I 33 (I p. 37, 18 Wellm.)* ξηράνας *Plin. N. H. XV 7, 26* arefactis 16 τήνδε *uix sanum: exspectaueris uelut* θερμαντικήν ὀνομάζεται δὲ οὕτω *coni. Klein*

7. νεύρου ἐναίμου· ἀντὶ τοῦ τῆς φλεβός.

8. νόμον· τὸν λόγον. ἢ τὴν νέμεσιν. ἢ τὸ ἦθος.

9. νηδύν· οὕτω καλεῖ πᾶσαν κοιλότητα λέγων· 'ὁκόσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερῆ, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. πᾶν γὰρ τὸ ξύμφυτον, ἤν τε δέρματι ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι'. |

10. νόμος δίκαιος· λόγος συμφέρων. 99

11. νεοχμόν· νεώτατον. ὡς καὶ Ἀλκμὰν ἐν α´ Μελῶν.

ΑΡΧΗ ΤΟΥ Ξ

1. ξυντεκμαίρεσθαι· συσσημειοῦσθαι. τέκμαρ γὰρ καὶ τεκμήριον ἰδίως τὸ σημεῖον λέγεται.

2. ξυσμῷ· κνησμῷ. φησὶ γὰρ οὕτως Ἱπποκράτης· 'ὑποβὰς γὰρ ἐς Μῆλον ἐς θερμὰ λοετρὰ τοῦ μὲν κνησμοῦ ἐπαύσατο καὶ τῆς παχυδερμίας'. κεῖται ὁ ξυσμὸς καὶ ἐν Ἀφορισμοῖς.

3. ξυνιέναι· συνεπινοεῖν. κεῖται καὶ ἐν τῷ Περὶ πτισάνης.

4. ξενοπρεπές· ἐξηλλαγμένον. ἔστι δὲ τοῦ Περὶ ἀγμῶν.

5. ξύντασις ὑπολάπαρος· ἀντὶ τοῦ ὑφάπαλος καὶ χωρὶς βίας.

7. *De hum. usu 2 (VI 124, 3 L.)* νεύρῳ ἐναίμῳ 8. *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat* 9. *De arte 10 (VI 16, 21 L. = 50, 7 G.)* νηδύν λέγων] *l. c.* 10. *De fract. 7 (III 442, 1 L. = II 57, 21 Kw.)* νόμος . . . δίκαιος 11. *De mul. aff. II 133 (VIII 298, 1 L.)* νεοχμόν α´ Μελῶν] *fr. 1, 3 B.*

1. *Prognost. 2 (II 114, 8 L. = I 79, 20 Kw.)* συντεκμαίρεσθαι 2. *Epid. V 9 (V 208, 18 L.)* ξυσμῷ *Hes. III 174, 92* Ἱπποκράτης] *Epid. l. c.* 15 Ἀφορισμοῖς] *3, 31 (IV 500, 17 L.)* 3. *De fract. 7 (III 442, 5 L. = II 58, 4 Kw.)* προσσυνιέναι Περὶ πτισάνης] *De uictu acut. I 14 (II 336, 5 L. = I 135, 19 Kw.)* προσσυνιέναι 4. *De fract. 1 (III 414, 7 L. = II 46, 17 Kw.)* ξενοπρεπές 5. *aut Epid. I 13 aeg. 2 (II 686, 4 L. = I 203, 21 Kw.)* σύντασις . . . ὑπολάπαρος *aut Epid. III 1 aeg. 3 (III 40, 11 L. = I 217, 13 Kw.)* σύντασις ὑπολάπαρος

3 ὅσα *Hipp. codd.* 4 περιφερέα *Hipp. codd.* 5 ἀσύμφυτον *Hipp. codd.* 13 ὑποβὰς γὰρ] διελθὼν δὲ *Hipp.* ἐς θερμὰ] ἢ τὰ θερμὰ *Hipp.* 14 παχυδερμίης *Hipp. codd.* 19 ὑπελάπαρος MO : ὑπεράπαλος L, ρ *supra* λ *suprascr.* L[1]

ΑΡΧΗ ΤΟΥ Ο

1. ὀρφνῶδες· σκοτεινόν. ὄρφνη γὰρ λέγεται ἡ σκοτία.

2. ὀγκυλωμένη· ὀγκύλεσθαι μὲν Ἀττικοὶ λέγουσι τὸ μέγα καὶ ἐπηρμένον φρονεῖν. ὁ δ' Ἱπποκράτης ὀγκυλωμένην λέγει κοιλίαν τὴν ταχέως εἰς ὄγκον αἰρομένην. |

100 3. ὀξυρεγμίην· τὴν τοῖς ἀπεπτοῦσι παρακολουθοῦσαν ἐποξίζουσαν ἐρυγήν.

4. ὁμαλῶς· ὁμοίως. ἔστι δὲ τοῦ δ´ Ἐπιδημιῶν ἡ λέξις.

5. οὔρει αἱμαλῶδες· ἐν ἐνίοις ἀντιγράφοις εὕρομεν οὐρέει αἱματῶδες, ἐν δὲ τοῖς πλείστοις αἱμαλῶδες, ὃ καὶ αὐτὸ ἐν ἴσῳ κεῖται τῷ αἱματῶδες. εἴρηται γὰρ παρὰ τὸν αἱμάλωπα, ὅ ἐστι συγγραφὴ ὕφαιμος, ὡς ἐπίπαν ἐκ πληγῆς περὶ τὸν κερατοειδῆ χιτῶνα γινομένη.

6. Οἰνιάδαι· πόλις Αἰτωλίας, κειμένη παρὰ ταῖς Ἀχελῴου τοῦ ποταμοῦ πηγαῖς.

7. οὐρεύς· ὁ ἡμίονος, ὡς καὶ Ὅμηρος·

οὐρῆας μὲν πρῶτον ἐπῴχετο.

8. ὄμματα ἐνδεδινημένα· Ἐπικλῆς τὸ ἐνδεδινημένον ἐπὶ τοῦ ἐσκοτωμένου καὶ τὴν κεφαλὴν ἀλγοῦντος τάσσει, οὐ νοήσας. ὁ γὰρ Ἱπποκράτης οὐκ ἐπ' ἀνθρώπου καθόλου τέταχε τὴν λέξιν. ἐν γὰρ ϛ´ Ἐπιδημιῶν φανερὸν ποιεῖ, ἰδίως ἐπὶ μέρους ὀφθαλμοῦ τάττων αὐτήν. πῶς οὖν καλῶς ἄν τις τὰ ἐνδεδινημένα ἀντὶ τοῦ ἐξεστραμμένα παραλάβοι; πεποίηται γὰρ παρὰ τὴν δίνησιν, ἥτις ἐστὶ κυκλοτερὴς περιστροφή.

1. *Prognost. 24 (II 182, 11 L. = I 105, 17 Kw.)* ὀρφνῶδες *cf. Hes. III 225, 64 sq.* 2. *Prorrhet. I 99 (V 538, 5 L.)* ὀγκυλωμένη *($J^{II}K^{II}$)* 3. *aut De diaeta II 54 (VI 558, 3 L.)* ὀξυρεγμίην *aut Epid. II 2, 21 (V 92, 13 L.)* ὀξυρεγμίη 4. *Epid. IV 4, 4 (V 146, 5 L.)* ὁμοίως 5. *Epid. IV 29 (V 172, 11 L.)* προούρει αἱματῶδες 6. *Epid. V 3 (V 204, 15 L.)* Οἰνιάδῃσι 7. *Epid. IV 39 (V 230, 21 L.)* συός Ὅμηρος] A *50* 8. *Epid. V 99 (V 256, 21 L.)* ὄμματα . . . ἐνδεδινημένα 21 ϛ´ Ἐπιδημιῶν] *1, 13 (V 274, 2 L.)*

2 σκοτ A : σκοτεία HLMO 3 ἀττικῶς HLMO 4 ἐπηρμένα HLMO 8 ἔστι] ἔτι HLMO 9 οὖρα A αἱμαλῶδες AH : αἱμελῶδες H¹LMO οὐρέα A 11 αἱματώδει A 14 οἰνεάδα *codd.* : *correxi praeeunte Foes 446* 18 ἐνδεδινημένα *Steph.* : ἐπιδεδινημένα *codd.*

9. ὀργίσασθαι· τὸ ὁρμὴν ἔχειν πρός τι. καὶ ὀργᾶν
τὴν | γῆν πρὸς τὴν ἐκβολὴν τοῦ καρποῦ. ὀργίσασθαι οὖν **101**
εἶπε τὸ εἰς παράστασιν ἀγαγεῖν τὰ ὑγρὰ καὶ πρὸς ἔκκρισιν ἑτοιμάζειν.

10. οἰκείης· δούλης, οἱ δὲ ἰδίας. κεῖται ἐν τῷ Περὶ φύσεως παιδίου ἡ λέξις.

11. ὁμιλίῃ· σημαίνει τρία. ἐνθάδε μὲν τὴν τῶν ἀνθρώπων ἀναστροφήν, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ἐν δὲ τῷ Περὶ ἄρθρων ἁπλῶς τὴν παράθεσιν καὶ γειτνίασιν, ὅτε φησίν· 'ὁμιλέει δὲ βραχίων τῇ κοτύλῃ τῆς ὠμοπλάτης'. τὴν δὲ τριβήν, ὅτε φησί· 'ταύτην τὴν τέχνην οὐ μόνον λόγῳ ἀσκεῖν χρή, ἀλλὰ καὶ ὁμιλίῃ'. ἔστι δὲ τοῦ Περὶ ὡρῶν καὶ τόπων.

12. ὁλκάδες· τὰ φορτηγὰ πλοιάρια.

13. ὀδύνας ναρκοῖ· ἀντὶ τοῦ μειοῖ· ἐπειδὴ ἡ νάρκη θλῖψις αἰσθήσεώς ἐστιν.

14. ὀτίδος· ὀρνέου εἶδός ἐστιν, ὅ τινες ὠτίδα καλοῦσιν.

15. ὄϊος στόμαχος· γοῦλα προβάτου. ὄϊς γὰρ τὸ πρόβατον. κοινῶς δὲ τοῦ ἀνθρώπου. |

16. ὅριον· τὸν περιορισμόν. **102**

17. ὀκχῇ· καὶ ὀκχεῖν δὲ εὕρομεν. ἔστι δὲ τὸ φέρειν, ὡς Βακχεῖος.

9. *Epid. VI 2, 1 (V 276, 10 L.)* ἐργάσασθαι **10**. *De nat. pueri 13 (VII 490, 3 L.)* οἰκείης *cf. Hes. III 183, 33* **11**. *De a. a. l. 14 (II 60, 7 L. = I 56, 18 Kw.)* ὁμιλίην *(Gadaldini* : ἀμέλειαν *(V^H 𝔅^H)*
9 Περὶ ἄρθρων] *1 (IV 80, 7 L. = II 112, 12 Kw.)* 11 φησί] *ibid. 10 (IV 102, 16 L. = II 126, 10 Kw.)* **12**. *De flat. 3 (VI 94, 7 L. = 8, 12 N.)* ὁλκάδες **13**. *De hum. usu 6 (VI 132, 4 L.)* ὀδύνην ναρκοῖ
14. *De morbo sacro 1 (VI 356, 4 L.)* ὠτίδος *M^H* : ὀτίδος *θ^H* *cf.* Ω 3 *cf. Gal. XIX 127, 8 K.* **15**. *non repperi* **16**. *De med. off. 11 (III 310, 4 L. = II 38, 7 Kw.)* ὅριον **17**. *Vectiar. 20 (IV 362, 1 L. = II 256, 6 Kw.)* ὀχέῃ. ὀχέειν

3 *in uerbo* ἔκκρισιν *desinit* H 5 *glossa uix sana esse uidetur; coniecerim uelut* ⟨οἰκέτιδος·⟩ δούλης. οἱ δὲ οἰκείης, ⟨ὅ ἐστι⟩ ἰδίας δουλίας LO : δουλίαν M ἰδίας *Focs 446* : βίας *codd.* *ante* ἐν *add.* καὶ A 8 παρὰ C : περὶ *cett.* 10 τῇ κοτύλῃ] τῷ κοίλῳ *Hipp.* 11 οὐκ ἀρκεῖ μοῦνον λόγῳ εἰδέναι ταύτην τὴν τέχνην, ἀλλὰ καὶ ὁμιλίῃ *Hipp.* 17 στόμαχος *scripsi* : στομχ´ A : στόμον LMO γοῦλα A : γοῦλαν LMO; *fort. glossa uerbi* στόμα 20 ὄγχῃ *codd.* : *correxi* ὀγχείην *codd.* : *correxi*

18. ὄκλασις· ὀκλάσαι λέγεται τὸ ἐπὶ τὰς κνήμας καὶ τὰς πτέρνας κάμψαντα τὰ γόνατα καθίσαι.

19. ὀκνέειν· μὴ δύνασθαι. φησὶ γάρ· ''οὗτοι κατοκνέουσιν ὀρθοῦσθαι'', ἀντὶ τοῦ οὐ δύνανται.

20. ὄνος· ὁ ἄξων. ἴσως διὰ τὸ κυκλικὸν τῆς κινήσεως.

21. ὀρὸν πίσσης· τὸ ὑγρότατον τῆς πίσσης. ἐν δὲ α´ Γυναικείων κἀν τῷ Περὶ πτισάνης τὸν τοῦ γάλακτος ὀρὸν ἀκουστέον, ὃς ἐφίσταται τοῖς ἀποτυρουμένοις.

22. ὀκνήθη· ηὐλαβήθη.

23. ὀρρωδέειν· ἀγωνιᾶν, φοβεῖσθαι.

24. οἶνος Ἄνδριος· ὁ εὔτονος, ἢ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου, ὡς Λέσβιος ὁ ἀπὸ Λέσβου.

25. οὔλῳ ἐρίῳ· τῷ μαλακῷ.

26. ὀξύϊ· ὀσφύϊ.

27. ὀχλώδεα· ὀχληρά.

28. οἶδος· οἴδημα.

29. ὀνεύεσθαι· τείνειν. |

103 30. ὄπωπα· εἶδον.

31. οὐλομελείης· ὅλης φύσεως.

32. ὄκρις· τραχύτης. ἀλλ' οὐχ, ὥς φησι Βακχεῖος, γωνία.

18. *Vectiar. 26 (IV 370, 5 L. = II 260, 11 Kw.)* ὄκλασιν **19**. *Vectiar. 20 (IV 360, 18 L. = II 255, 18 Kw.)* κατοκνέουσιν φησὶ γὰρ] *l. c.* **20**. *Vectiar. 38 (IV 382, 3 sq. L. = II 267, 12 sq. Kw.)* ὄνος **21**. *De ulcer. 12 (VI 416, 5 L.)* ὀρὸν πίσσης α´ Γυναικείων] *I 29 (VIII 74, 4 L.)* 7 Περὶ πτισάνης] *De uictu acut. I 1 (II 226, 4 L. = I 109, 16 Kw.)* **22.—26**. *e libro deperdito De uuln. et tel. fluxisse uidentur* **24**. *cf.* A **85** **26**. *cf.* I **17** **27**. *De fract. 11 (III 454, 15 L. = II 64, 19 Kw.)* ὀχλώδεα **28**. *De fract. 25 (III 498, 10 L. = II 82, 14 Kw.)* οἶδος **29**. *De fract. 15 (III 472, 15 L. = II 72, 6 Kw.)* ὀνεύεσθαι (*B*[H] : πονέεσθαι *M*[H]) *cf. Gal. XIX 126, 7 K.* **30**. *De artic. 1 (IV 78, 4 L. = II 111, 6 Kw.)* ὄπωπα *cf. Hes. III 214, 78* **31**. *De artic. 11 (IV 108, 7 L. = II 129, 12 Kw.)* οὐλομελείης **32**. *De artic. 14 (IV 118, 16 L. = II 135, 4 Kw.)* ὄκρις

2 *ante* καθίσαι *add.* καὶ LMO 11 ἄδρου A 14 ὀξύϊ *corruptum; glossa epitomatori* ***B1*** *debetur* 17 οἰνεύεσθαι A : οἰνένεσθαι LMO : *corr. Klein Rhein. Mus. XVIII (1863) 475* 20 ὄκνις LMO

33. ὅπλα· Βακχεῖός φησι τὰ στύππινα σχοινία, οὐκ εὖ. ἔστι γὰρ κοινῶς τὰ ἐν τῇ νηῒ διακρατοῦντα ὀρθὸν τὸν ἱστὸν σχοινία.

34. ὀχετούς· τὰς ἐκχύσεις τῶν ὑδάτων, ὡς καὶ Ὅμηρος·

ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου.

35. οἷον ὀρόβιον πυρρόν· τὸ ⟨ὀρόβιον οἱ μὲν . . .,⟩ οἱ δὲ τὴν ἰσομεγέθη ὀρόβῳ ἀκροχορδόνην.

36. οἶνον οἰνώδεα· οὐχ, ὥς τινες, τὸν ἁπαλὸν καὶ μόνην ἔμφασιν οἴνου παρέχοντα, ἀλλὰ μᾶλλον τὸν αὐστηρὸν καὶ εὔτονον. φησὶ γάρ· "γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα καὶ λευκὸν καὶ μέλανα". ἀντιδιαστελλόμενος δέ φησιν· "ὁ μὲν γλυκὺς ἧσσόν ἐστι καρηβαρικὸς τοῦ οἰνώδεος".

37. οἴνῳ σιραίῳ· τῷ ἑψήματι λεγομένῳ.

38. ὀλοφλυκτίδες· αἱ φλύκταιναι. οἱ δὲ περινυκτίδες. οἱ δὲ δοθιῆνες. οἱ δὲ ἐξανθήματα ἰόνθοις ὅμοια. |

39. οὐλάς· κριθάς. **104**

40. οὐ παιδοκτιστήσει· οὐ παιδοποιήσει. κτίσαι γὰρ τὸ ποιῆσαι.

41. οἰναρίδες· τὰ κλήματα τῶν ἀμπέλων οὕτως Ἀττικοὶ καλοῦσιν. οἴναρα δὲ τὰ τῆς ἀμπέλου φύλλα.

33. *De artic. 43 (IV 186, 10 L.=II 170, 4 Kw.)* ὅπλα **34.** *De artic. 48 (IV 216, 4 L.=II 183, 22 Kw.)* ὀχετούς Ὅμηρος] Φ *257* **35.** *De morb. III 11 (VII 130, 19 L.)* οἷον ὀρόβιον πυρρόν **36.** *De uictu acut. I 14 (II 332, 3 L.=I 134, 7 Kw.)* οἶνον . . . οἰνώδεα 10 φησὶ] *l. c.* **37.** *De mul. aff. I 66 (VIII 140, 8 L.)* οἴνῳ σιραίῳ *cf. Gal. XIX 138, 5 K.* **38.** *De mul. aff. II 206 (VIII 400, 15 L.)* ὀλοφλυκτίδες *Gal. XIX 126, 6 K.* *cf. Hes. III 199, 41* **39.** *e libro De mul. aff. fluxisse uidetur* *cf. Hes. III 238, 40* **40.** *De mul. aff. II 132 (VIII 280, 6 L.)* οὐ παιδοποιεῖ (ϑ[H] C[H]) **41.** *De mul. aff. II 206 (VIII 400, 22 L.)* οἰναρίδων *Gal. XIX 125, 8 K.* *Hes. III 186, 14*

1 στύπτινα LMO 5 ὅτ' *Hom.* : ὅταν *codd.* 6 οὖλον ὀρόβιον· τὸ πυρρὸν *codd.* : *correxi, suppleui, lac. indicaui* 7 ἀκροχορδόνην LMO : ἀκροχορδόν A : ἀκροχορδόνα *a Gesner edd.* 8 *glossam cum antecedente coniungunt* LMO οἶνον] οἷον LMO οἰνώδεα C : οἰνώδα *cett.* 9 ἐπερέχοντα L : ἐπ[παρ]έχοντα M : ἐπαρέχοντα O 10 οἰνώδεα C : οἰνώδα A : οἰνώδη LMO 11 ἀντιδιαστελλομένου *codd.* : *corr. Steph.* 12 ἥσσων *codd.* 14 ἐπινυκτίδες *coni. Foes 452* 15 δοθιῆθες A ἰόνθοις] ζοίθοις MO : ζήθοις L 17 παιδοκτίσει *codd.* : *correxi*

42. οἰσύπη αἰγός· οἰσύπη κυρίως λέγεται τὸ διαχώρημα τοῦ προβάτου. καὶ γὰρ ὄϊς τὸ πρόβατον. πλὴν αὐτὸς καταχρηστικῶς οἰσύπην ἐκάλεσε καὶ τὸ τῆς αἰγὸς διαχώρημα, διὰ τοῦτο καὶ οἰσυπηρὰ ἔρια τὰ μετέχοντα τῆς οἰσύπης ἢ τοῦ οἰσύπου. ἑκατέρως γὰρ λέγεται.

43. οἱ πικρόχολοι τὰ ἄνω· ἀντὶ τοῦ οἱ καχέκται, διὰ τοῦτο ὀξεῖς καὶ εὐκίνητοι. οἱ γὰρ χολώδες ἔχοντες τὸ παρακείμενον βλάπτονται ὑπὸ τῆς ἀσιτίας τὸν στόμαχον.

44. οἰνάδος· τῆς βρυωνίας καλουμένης. ἔστι δὲ ἀγρίας ἀμπέλου εἶδος.

45. οἶνος ἀνθοσμίας· ὁ εὐώδης καὶ ἡδύς, ὡς Ἀριστοφάνης ἐν Βατράχοις καὶ ἐν Θεσμοφοριαζούσαις.

46. ὄργια· μυστήρια.

ΑΡΧΗ ΤΟΥ Π

1. προπετής· προπίπτων. καὶ αὕτη ἡ λέξις μεταφορικῶς εἴρηται· καὶ γὰρ ἐν τῷ βίῳ προπετεῖς ἀνθρώπους λέγο-
105 μεν τοὺς μὴ | κατέχοντας ἑαυτῶν, ἀλλ' οἷον πρὸ καιροῦ προπίπτοντας ταῖς πράξεσι.

2. πνεῦμα· νῦν ἡ ἀναπνοή, δι' ὧν φησι· "πνεῦμα πυκνὸν μὲν ἐὸν πόνον σημαίνει".

3. περιεστικόν· σωτήριον.

4. πελάσει· ἐγγίσει. πέλας γὰρ τὸ ἐγγὺς λέγεται.

42. *De mul. aff. II 195 (VIII 378, 7 L.)* οἰσύπη αἰγός *Greg. Cor. Ion. 150* **43.** *De uictu acut. I 9 (II 296, 2 L.=I 125, 9 Kw.)* οἱ πικρόχολοι τὰ ἄνω **44.** *fort. e libro De mul. aff.* **45.** *De steril. 222 (VIII 430, 22 L.)* οἶνος . . ἀνθοσμίης 12 Βατράχοις] *1150* Θεσμοφοριαζούσαις] *Thesmophor. alt. fr. 336 K.* **46.** *Presbeut. (IX 420, 21 L.)* ὄργια *cf. Hes. III 216, 20*

1. *Prognost. 3 (II 118, 14 L.=I 81, 15 Kw.)* προπετής **2.** *Prognost. 5 (II 122, 11 L.=I 82, 20 Kw.)* πνεῦμα φησι] *l. c.* **3.** *Prognost. 14 (II 146, 11 L.=I 92, 19 Kw.)* περιεστικόν **4.** *Prognost. 24 (II 182, 5 L.=I 105, 11 Kw.)* πελάζῃ (r^{H} : πελάσῃ V^{H} : προσπελάσῃ M^{H}) *cf. Hes. III 299, 90 sq.*

6 κεχέκται L : κεχέηται MO 9 οἴαδος *codd. : corr. Klein praeeunte Eust.* 21 περιεκτικόν *codd. : corr. Heringa 8*

5. προαπαυδησάντων· προαφωνησάντων, ἐξ οὗ δηλοῦται τὸ κεκακωμένον τῆς δυνάμεως. φησὶ γάρ· 'προαπαυδησάντων παραφροσύναι κάκισται', ἀντὶ τοῦ ἐπ' ἀσθενεῖ τῇ δυνάμει γενόμεναι φρενίτιδες κακόν.

6. παρενεχθέντι· ὑπενεχθέντι εἰς παρακοπήν.

7. παρακρουστικόν· παρακοπτικόν. παρακρούειν γὰρ κυρίως ἔλεγον οἱ ἀρχαῖοι τὸ ἐπ' ὀλίγον παραφρονεῖν.

8. πεπασμός· κυρίως μὲν ἐπὶ τῶν ἀκροδρύων εἴρηται, ὅταν ἐξ ὠμότητος πέπειροι οἱ καρποὶ γίνωνται, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων, ὅταν οἱ χυμοὶ πεπανθῶσι.

9. πινώδεσι· ῥυπαροῖς. πίνος γὰρ ὁ ῥύπος. καὶ πινηρὰ ἔρια ὅταν φῇ, τὰ οἰσυπηρὰ ἀκουστέον. ἐν ἐνίοις δὲ ὑπομνήμασιν εὕρομεν πίνον λεγόμενον τὸν σπίλον. |

10. πρωῒ τοῦ ἦρος· ἀντὶ τοῦ πρὸ τοῦ ἦρος [ὁρᾶν]. **106**

11. πῦρ· τουτέστιν ὁ πυρετός. Ἀττικὴ δὲ ἡ λέξις.

12. πλάδος· ἡ οἷον ἔχχαυνος καὶ ὑπόσομφος καὶ δίυγρος τοῦ σώματος διάθεσις καὶ μὴ στερεᾷ κεχρημένη σαρκί.

13. πρωϊαίτερον· πρὸ τοῦ δέοντος καιροῦ.

14. παρελύθη· παράλυσιν κυρίως καλεῖ τὴν περὶ τὸ δεξιὸν μέρος τοῦ σώματος μάλιστα γιγνομένην.

15. παλιγκοτωτάτοις· φιλυποστρόφοις νοσήμασι.

16. πέπλος· βοτάνης εἶδος, ἣν ἔνιοι πέπλιον ὀνομάζουσιν, οἱ δὲ σύμφυτον.

5. *Prorrhet. I 8 (V 512, 5 L.)* προεξαδυνατησάντων 2 φησὶ γὰρ] *l. c.* **6**. *Prorrhet. I 21 (V 516, 4 L.)* παρενεχθέντι **7**. *Prorrhet. I 25 (V 516, 8 L.)* παρακρουστικόν **8**. *De hum. 3 (V 480, 2 L.)* πεπασμός **9**. *De hum. 10 (V 490, 12 L.)* πινώδεσι **10**. *Epid. I 1 (II 598, 8 L. = I 180, 11 Kw.)* πρωῒ . . . τοῦ ἦρος **11**. *Epid. I 13 aeg. 2 (II 684, 13 L. = I 203, 13 Kw.)* πῦρ *Hes. III 410, 80* **12**. *Epid. I 4 (II 618, 3 L. = I 185, 9 L.)* πλάδος **13**. *Epid. II 1, 6 (V 74, 15 L.)* πρωϊαίτερον **14**. *Epid. II 2, 8 (V 88, 4 L.)* παρελύθη **15**. *Epid. II 2, 24 (V 96, 13 L.)* παλιγκοτωτάτοισι **16**. *Epid. II 3, 11 (V 112, 14 L.)* πέπλος

1 προαναφωνησάντων *codd.* : *corr. Foes 70* 2 προεξαδυνατησάντων *Hipp.* 4 καλόν *codd.* : *corr. Steph. 142* 8 πεπασμός A : πεπασμοί LMO 15 πρωῒ *Eust.* : πρὸ *codd.* ὁρᾶν *del. Eust.* 16 *glossam cum antecedente coniung. codd.* : *sep. Steph.* 19 προιαίτερον *codd.* : *corr. Steph.*

17. πτερυγώδεες· οἱ μακροτράχηλοι καὶ ἐπὶ πολὺ πλατέα ἔχοντες τὰ στήθη καὶ ἐξέχοντα.

18. παρέλεγε· παρέκοπτε.

19. πνεῦμα μινυθῶδες· τὸ ἀσθενὲς καὶ ὀλίγον.

20. πρόσω· ἀντὶ τοῦ ἔμπροσθεν.

21. παρθένος· παρθένον νῦν τὴν θυγατέρα λέγει.

22. πόνος καταιγίζων· ἀντὶ τοῦ σφοδρῶς ἐμπίπτων.
107 εἴρηται δὲ | ἀπὸ τῆς καταιγίδος, ἥτις ἐστὶ βιαία καὶ αἰφνίδιος ἀνέμου ἔμπτωσις.

23. πτοιώδεσι· τὴν πτοίαν οἱ μὲν δέχονται τὸν κίνδυνον, οἱ δὲ τὴν ταραχήν, οἱ δὲ τὸν φόβον.

24. πόνοι· αἱ ἐνέργειαι.

25. περιμάδαρα ἕλκεα· ἄτροφα καὶ ἀνώμαλα.

26. προσάρματα· τροφαί.

27. πόνοι σιτίων ἡγείσθωσαν· ὁ πόνος τρία σημαίνει. ἐνθάδε μὲν τὰ γυμνάσια, ἔνθα φησίν· "ἄσκησις ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων". ἀντὶ δὲ ὀδύνης, ὅταν φῇ· "δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον". ἐπὶ δὲ τῆς βλάβης, ὅταν εἴπῃ· "ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον". μὴ ἐπιστήσας δὲ Ἀσκληπιάδης τοῦ ἥρωος μὴ ἐξηγουμένου, ἐξ ὧν ἐπιφέρει· "ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον", φησί·

17. *Epid. III 14 (III 98, 1 L. = I 231, 14 Kw.)* πτερυγώδεες **18**. *Epid. III 17 aeg. 3 (III 116, 5 L. = I 236, 2 Kw.)* παρέλεγεν **19**. *Epid. III 17 aeg. 3 (III 116, 7 L. = I 236, 4 Kw.)* πνεῦμα . . μινυθῶδες **20**. *Epid. IV 11 (V 150, 9 L.)* πρόσω **21**. *Epid. V 50 (V 236, 11 L.)* παρθένος **22**. *Epid. V 61 (V 242, 1 L.)* πόνος καταιγίζων **23**. *Epid. VI 2, 20 (V 288, 5 L.)* πτοιώδεσι **24**. *Epid. VI 6, 2 (V 324, 1 L.)* πόνοι **25**. *Epid. VI 8, 2 (V 342, 16 L.)* περιμάδαρα ἕλκεα **26**. *Aphor. 1, 15 (IV 466, 14 L.)* προσάρματα **27**. *Epid. VI 4, 23 (V 314, 3 L.)* πόνοι σιτίων ἡγείσθωσαν 16 φησίν] *ibid. 4, 18 (V 312, 2 L.)* 17 φῇ] *Aphor. 2, 46 (IV 482, 15 L.)* 19 εἴπῃ] *ibid. 2, 1 (IV 470, 9 L.)*

4 μινυνθῶδες *codd.* : *correxi* 6 παρθένος *(lemma)* A : παρθένον L : παρθένη MO 16 τὰ γυμνάσια A : τὴν γυμνασίαν LMO ὑγιείης *om.* LMO ἀκορίη C : ἀκρορίη A : ἀκυρίη LMO 20 δὲ ὕπνος] δ' ὁ πόνος A 21 μὴ *del. Steph. 143*

'πῶς δύναται τοῦτο εἶναι ἀληθές, τοῦ μὲν πόνου κατ' ἐπίτασιν αἰσθήσεως γιγνομένου, τοῦ δὲ ὕπνου κατ' ἔκλυσιν':

28. π ῖ α ρ· τὸ λιπαρώτατον καὶ νοστιμώτατον. καὶ πιερὸν τὸ λιπαρόν. |

29. π ί λ ο ι σ ι· πῖλοι καλοῦνται παρὰ Λάκωσι τὰ σκέπης 108 καὶ σκιᾶς χάριν πεποιημένα.

30. π ρ ό β α τ α· οὕτω καλεῖ κοινῶς πάντα τὰ τετράποδα νῦν.

31. π α ρ α μ π ε χ ό μ ε ν ο ι· παρακαλυπτόμενοι. εἴρηται δὲ παρὰ τὴν ἀμπεχόνην, ἥτις ἐστὶ παρακάλυψις.

32. π α ι δ ι κ ὸ ν π ά θ ο ς· παιδείαν νῦν τὴν παιδοτροφίαν. ὅθεν καὶ Σοφοκλῆς ἐν Πελίᾳ φησί·

λευκὴν ⟨γὰρ⟩ αὐτὴν ὧδ' ἐπαίδευσεν γάλα.

33. † π έ ρ ο ν α· διάτροπιν †.

34. π λ ά τ α ς· τὰς ὠμοπλάτας.

35. π α ρ ή κ ο υ σ ι· παρατέτανται.

36. π ι π ί σ κ ο ν τ α· ποτίζοντα.

37. π ε ρ ό ν α ς· τὰς κονδυλώδεις τῶν ὀστῶν ἐπαναστάσεις. οὕτω κεῖται νῦν, ὁτὲ δὲ ἀντὶ τῆς κερκίδος τάττει τὴν λέξιν. Δ ι α γ ό ρ α ς δὲ ὁ Κύπριός φησι τὰ προαιρετικὰ νεῦρα περόνας αὐτὸν καλεῖν. |

28. *De nat. pueri 21 (VII 512, 12 L.)* πῖαρ; *ibid. (VII 512, 10; 514, 3 L.)* πιαρόν *cf. Hes. III 333, 43 (uide etiam 295, 75)* **29**. *De a. a. l. 18 (II 68, 11 L. = I 60, 15 Kw.)* πίλοις **30**. *De a. a. l. 18 (II 68, 17 L. = I 60, 23 Kw.)* πρόβατα *fragm.* **81** *cf. Hes. III 373, 38* **31**. *De morbo sacro 1 (VI 354, 15 L.)* παραμπεχόμενοι **32**. *e capite 8 (uel 10) libri De morbo sacro fluxisse putauerim* 12 Πελίᾳ] *fr. 446 N.* **34**. *De loc. in hom. 6 (VI 286, 7 L.)* πλάτας *cf. Hes. III 342, 83* **35**. *De loc. in hom. 6 (VI 286, 10 L.)* παρήκουσιν **36**. *De loc. in hom. 21 (VI 314, 6 L.)* πιπίσκοντα **37**. *De loc. in hom. 6 (VI 286, 10 L.)* περόναι

5 σκέπαν LMO σκιᾶς] οὗ LMO : σκιοῦ K : -ᾶς *supra* -οῦ K[1] 10 παρακάλυψις] integumentum *Eust.* : παρακατάληψις *codd.* 11 παιδικὸν πάθος *cum glossa antecedente coniung., a uerbo* παιδίαν *nouam glossam incip. codd. : corr. Steph.* παιδείαν *Foes 477* : παιδίαν *codd.* 13 λευκὴν *Cobet probante Robert Hermes LI (1916) 302* : λευκὸν A : λουκὸν LMO γὰρ *add. Brunck* ὅδ' *codd. : corr. Welcker* 18 περόνεις LMO

109 38. πλανωδέστατα· τὰ μὴ κατὰ τάξιν γινόμενα. ὅθεν καὶ πλάνητες πυρετοὶ λέγονται οἱ μὴ κατὰ τάξιν φοιτῶντες.

39. πλήμνας· τὰς χοινικίδας τοῦ τροχοῦ, δι' ὧν ὁ ἄξων στρέφεται.

40. περαιωθεῖσαι εἰς ἀλλήλας· συννεύσασαι, ὡς ἑκατέραν λαβεῖν τέλος.

41. πελλόν· ὑπόφαιον. ἀγνοοῦντες δέ τινες γράφουσι πελιόν. ὡς καὶ Σοφοκλῆς ἐν Ποιμέσι καὶ ἐν Ἀμφιαράῳ φησί·

κυνὸς πελλῆς τε μηκάδος βοὸς ῥινέων.

42. προμηθέεσθαι· προβουλεύεσθαι, φροντίζειν.

43. περκνόν· μέλαν.

44. προβουλεύοντες· προγιγνώσκοντες καὶ προφυλαττόμενοι.

45. † πηχέδεον· τὸν ταῦρον. οἱ δὲ τὸ περίνεον. Βακχεῖος δὲ διάβασίν τινα. |

110 46. πελάσει· ἐγγίσει.

47. πισσηρὴν κηρωτήν· τὴν τετραφάρμακον καλουμένην.

48. πυκινή· πυκνή.

38. *De med. off. 9 (III 302, 8 L.=II 36, 14 Kw.)* πλανωδέστατα *fragm.* **74** 2 πλάνητες πυρετοί] *uelut Epid. I 4 (III 68, 9 L.=I 185, 15 Kw.)* **39**. *Vectiar. 38 (IV 386, 2 L.=II 269, 13 Kw.)* πλήμνας *Gal. XIX 131, 10 K.* **40**. *De oss. nat. 7 (IX 174, 2 L.)* περαιωθεῖσαι ἀλλήλαις **41**. *De cap. uuln. 19 (III 254, 1 L.=II 25, 21 Kw.)* ὑποπέλιον 8 Ποιμέσι] *fr. 468 N.* Ἀμφιαράῳ] *fr. 110 N.; uersus ad Pastor., non ad Amphiar. pertinet* **42**. *De fract. 20 (III 486, 4 L.=II 78, 9 Kw.)* προμηθεῖσθαι **43**. *De cap. uuln. 19 (III 254, 2 L.=II 25, 22 Kw.)* περκνόν *cf. Hes. III 323, 72 sq.* **44**. *De fract. 1 (III 412, 5 L.=II 46, 6 Kw.)* προβουλεύοντες (B^{H} : προβουλεύονται $M^{H}V^{H}$) **45**.—**46**. *e libro De fract. fluxisse uidentur* **47**. *De fract. 26 (III 502, 3 L.=II 84, 4 Kw.)* πισσηρὴν κηρωτήν **48**. *e libro De artic. fluxisse uidetur*

1 πλανωδεστ´ A. *unde* πλανωδέστατ: K : πλανωδέστιν LMO 7 ἱππόφαιον *codd.* : *corr. Steph.* 8 *post* πελιόν *aliquot uerba intercidisse putat Klein* 10 ῥινέων *Steph.* : ῥηνέων *codd.* : ῥινὸν *ante* βοὸς *Brunck* 15 πλιχάδα *coni. Ermerins, glossam ad De fract. 20 (III 484, 11 L.=II 78, 4 Kw.) referens*

49. πλοώδης· Ἐπικλῆς φησιν εὐρύχωρον χάλασμα ἔχουσα καὶ οἷον ἐμπλέουσα.

50. περιρρηδές· ἑκατέρωθεν ἐγκεκλιμένον μηνοειδῶς. ἔνιοι δὲ περιφερές.

51. περιτενές· περιτεταμένον.

52. πρόσαρσιν· προσφοράν.

53. πρήγματα· κτήματα.

54. ποταίνια· Βακχεῖος ἐν β΄ φησὶ τὰ πρόσφατα.

55. πυθμενόθεν· Βακχεῖος ἐν β΄ φησὶν ἐξ ἀρχῆς. ἔστι δὲ μᾶλλον κάτωθεν καὶ οἷον ἐκ βάθους. εἴρηται γὰρ ἀπὸ τοῦ πυθμένος.

56. πεντάφυλλον· βοτάνης ὄνομα.

57. πικερίῳ· βουτύρῳ. ὡς καὶ Ἀριστοτέλης ἐν τοῖς Ὑπομνήμασί | φησιν, ὅτι Θόας ὁ Ἰθακήσιος ἱστορεῖ παρὰ **111**
Φρυξὶ πικέριον καλεῖσθαι τὸ βούτυρον.

58. πηρῖνα· τὸν ὀσχεόν φησιν οὕτω καλεῖσθαι Ἀντίγονος ὁ γραμματικὸς παρὰ τὸ ὡς ἐν πήρᾳ ⟨εἶναι. ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς⟩ φησι·

καὶ ἐξ ἐλάφοιο ⟨ταμὼν⟩ πηρῖνα θοραίην.

49. *De artic. 14 (IV 124, 15 L. = II 138, 10 Kw.)* πλοώδης *fragm.* **85**
50. *De artic. 16 (IV 128, 18 L. = II 140, 19 Kw.)* περιρρηδές
51. *De artic. 46 (IV 200, 2 L. = II 176, 3 Kw.)* περιτενέος *Greg. Cor. Ion. 169* **52**. *De uictu acut. I 8 (II 278, 5 L. = I 121, 22 Kw.)* προσάρσιος **53**. *De uictu acut. I 11 (II 304, 9. 10 L. = I 128, 3. 4 Kw.)* πρήγματι. πρῆγμα **54**. *De uictu acut. I 10 (II 300, 8. 9 L. = I 126, 18. 19 Kw.)* ποταίνια *Greg. Cor. Ion. 170* **55**. *De uictu acut. I 11 (II 308, 2 L. = I 129, 3 Kw.)* πυθμενόθεν **56**. *De morbis II 42 (VII 58, 24 L.) aut III 17 (VII 158, 8 L.)* πενταφύλλου **57**. *De mul. aff. I 63 (VIII 130, 2 L.)* πικερίῳ *Gal. XIX 131, 1 K.* 14 Ὑπομνήμασι] *fr. 636 Rose (sed cf. etiam Aristoph. Byz. fr. CI N.)* **58**. *De mul. aff. I 75 (VIII 166, 4 L.)* περίνεον 18 Θηριακοῖς] *586*

1 ἐπικλῆς K : εὐρυκλῆς K[1] *cett.* 3 περρέδαι A : περίδαι LMO : *corr. Steph. 143* 7 προήγματα LMO : πρόγματα C 12 πενταφυλλ' A : πενταφύλλη LMO 13 Ἀριστοτέλης *Rose* : ἀριστοφάνης *codd.* 16 πήνιρα *codd.* : *corr. Eust.* 17 *suppleui praeeunte Gesner* 19 ταμὼν πηρῖνα *Nicander* : καὶ πηνάρα *codd.*

59. παλύνων· ἐπιπάσσων. ὡς καὶ Ὅμηρός φησιν·

ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνεν.

60. πίσσα ἡδυντή· ἡδυντὴν πίσσαν λέγει τὴν ἠρτυμένην.

61. πάλη ἀλφίτου· πάλη λέγεται τὸ λευκότατον καὶ λεπτότατον τοῦ ἀλφίτου.

62. πολφοί· βολβοί, ὡς Μεταγένης φησί·

ῥαφανῖδος,
ἀμύλου, λεκίθων, καρύων, ζωμοῦ, πολφῶν, οἴνου, κολοκύνθης.

οἱ δὲ βρῶμά τι πολτῶδές φασιν εἶναι. |

112 63. πρόμαλον φώξας· πρόμαλόν ἐστιν εἶδος φυτοῦ, οὗ μέμνηται καὶ Εὔπολις ἐν Αἰξί.

64. πωρωθῆναι· παχυνθῆναι καὶ παγῆναι.

65. Πύλας· τόπος Θεσσαλίας, ἐν ᾧ καὶ τὸ τῆς Πυλαίας Δήμητρος ἱερὸν ἵδρυται.

66. περνάς· πωλῶν, ὡς καὶ Ὅμηρός φησι·

κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.

67. προξένους· οὕτως ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐν ἄλλαις πόλεσι μένοντας καὶ εἰς ξενίαν ἐπιδεχομένους καὶ φροντίζοντας φίλων μέν, οὐκ ὄντων δὲ πολιτῶν.

59. *De mul. aff. I 78 (VIII 174, 5 L.)* παλύνων *cf. Gal. XIX 99, 3: 127, 13 K. Greg. Cor. Ion. 168* Ὅμηρος] Α *640* **60**. *De mul. aff. I 88 (VIII 212, 7 L.)* πίσσαν ἡδυντήν **61**. *De mul. aff. II 110 (VIII 236, 11 L.)* πάλη ἀλφίτου **62**. *De mul. aff. II 118 (VIII 254, 6 L.)* πολφοί (πομφοί *Littré)* Μεταγένης] *fr. inc. 16 K.* **63**. *De mul. aff. II 192 (VIII 374, 6 L.)* πρόμαλον φώξας 12 Αἰξί] *fr. 14, 5 K.* **64**. *De steril. 222 (VIII 428, 25 L.)* πωρωθῆναι **65**. *Presbeut. (IX 420, 6 L.)* Πύλας **66**. *Presbeut. (IX 422, 16 L.)* ὠνεύμενος *cf. Hes. III 323, 77 sqq.: 415, 90* Ὅμηρος] Χ *45* **67**. *Presbeut. (IX 428, 7 L.)* ξένους

2 ἐπεὶ LMO 5 πάλη LMO : πάλης A 9 οἴνου *corruptum iudicat Meineke* 17 τηλεδεπάων LMO

ΑΡΧΗ ΤΟΥ Ρ

1. ῥέγχος· ὁ ῥωχμός, ὡς κἀν τῷ Περὶ πτισάνης.

2. ῥὶς ὀνυχογραφηθεῖσα· ῥὶς ὑπ᾽ ὄνυχος ξεσθεῖσα. γράψαι γὰρ λέγεται τὸ ξέσαι, ὡς καὶ Ὅμηρός φησι·

νῦν δέ μ᾽ ἐπιγράψας ταρσὸν ποδός.

3. ῥινός· τὸ δέρμα.

4. ῥόμβος· ἐπιδέσμου ὄνομα. |

5. ῥαιβοειδέστατον· καμπυλώτατον. ῥαιβὸν γὰρ καὶ 113
γαῦσον τὸ στρεβλὸν λέγεται. καὐτὸς δέ πού φησι· "καμπυλώταται δὲ ἀνθρώπου πλευραί εἰσι, ῥαιβοειδέα τρόπον". †πλασίων ⟨δ᾽⟩ ἐπὶ τοῦ κατά τι μὲν κοίλου, κατά τι δὲ καμπύλου, ὡς Κινησίας τάσσει τὴν λέξιν.

6. ῥοώδεα ὀστέα· τὰ χωριζόμενα ἀπ᾽ ἀλλήλων, μεταφορικῶς ἀπὸ τοῦ ῥεῖν εἰρημένα.

7. ῥοικώδεα· ἅπερ καὶ γαῦσα καὶ στρεβλὰ ἐκάλεσεν.

1. *Epid. V 14 (V 214, 6 L.)* ῥέγχος Περὶ πτισάνης] *De uictu acut. I 5 (II 260, 7 L. = I 117, 7 K.)* **2.** *Epid. VI 6, 4 (V 324, 9 L.)* ῥὶς ὀνυχογραφηθεῖσα 4 Ὅμηρος] Λ *388* **3.** *De loc. in hom. 10 (VI 294, 18 L.)* ῥινόν *cf. Gal. XIX 79, 14 K.* *Hes. III 430, 36 sq.* **4.** *De med. off. 7 (III 292, 1 L. = II 34, 9 Kw.)* ῥόμβος **5.** *Vectiar. 1 (IV 342, 14 L. = II 246, 19 Kw.)* ῥαιβοειδέστατον (ῥεμβοειδέστατον *R^II* : ῥομβοειδέστατον *cett.*) *fragm.* **41** *cf. Gal. XIX 134, 7 K.* *Hes. III 419, 48*
9 πού] *De artic. 45 (IV 192, 4 L. = II 172, 14 Kw.)* 12 Κινησίας] *fr. 3 B.* **6.** *Vectiar. 30 (IV 372, 7 L. = II 261, 16 Kw.)* ῥοιώδεα . . . ὀστέα *(de codd. uide app. Kuehleweinii)* **7.** *De artic. 86 (IV 324, 6 L. = II 243, 7 Kw.)* ῥοιώδεα

2 νωχμός LMO 3 ῥινονυχογραφηθεῖσα *codd.* : *corr. Foes 554* ῥὶς] ῥῖνα LMO 5 δ᾽ ἐπιγράψας LMO 8 ῥεβοειδέστατον A : ῥεμβοειδέστατον LMO : *corr. Steph.* ῥεβὸν A : ῥεμβὸν LMO*R^II*
10 πλευραὶ ἀνθρώπου *R^II Hipp. codd.* ῥεβοει^δα´ A : ῥεμβοειδέα LMO *R^II*; *ab hoc uerbo nouam denotant glossam codd., cum antecedentibus coniung. R^II* πλασίων A*R^II* : πλαγίων LMO *aut* πλαγίως *aut potius* Γλαυκίας *conicio; si hoc uerum, postea* ⟨καὶ⟩ Κινησίας *legendum*
11 δ᾽ *add. R^II* κοῖλον LMO καμπύλον LMO 13 ῥοω^δα´ *codd.* 15 ῥοίκω^δα´ A : ῥοικώδη O : ῥοικώδης LM ἅπερ] ἁπλᾶ LMO ἐκάλεσαν LMO

8. ῥίζη ἀλθαίης· τῆς ἀγρίας δηλονότι μαλάχης, ἣν Ῥωμαῖοι ἰβίσκον καλοῦσι.

9. ῥοιβοειδέα τρόπον· ἀντὶ τοῦ ἀγκυλοειδῶς. ῥοιβὸν γὰρ τὸ τοιοῦτον σχῆμα καλεῖται. |

114 ΑΡΧΗ ΤΟΥ Σ

1. συχνόν· Βακχεῖος ἐν γ´ φησὶ πολύ, οὐκ ὀρθῶς. ἔστι γὰρ τὸ συνεχές.

2. σπληνὸς κατ᾽ ἶξιν· Βακχεῖος ἐν α´ φησὶ κατὰ συνέχειαν, ὁ δὲ Γλαυκίας κατ᾽ εὐθυωρίαν. ἑκάτεροι δὲ ἐλλιπῶς ἔγραψαν, ἐπειδὴ ἡ λέξις οὐ τῶν ἓν δηλουσῶν ἐστιν, ἀλλ᾽ ἐνθάδε μὲν τὴν συνέχειαν, ἐν δὲ τῷ Κατ᾽ ἰητρεῖον κἀν τῷ Περὶ καταγμάτων φησὶν ἶξιν τοῦ ἕλκεος ἢ τοῦ κατάγματος τὸ πέρας, παρὰ τὴν ἄφιξιν κληθεῖσαν, ἥτις ἐστὶ πέρας κινήσεως. ἐν δὲ τῷ β´ καὶ δ´ τῶν Ἐπιδημιῶν τὴν ἶξιν ἀντὶ τῆς εὐθυωρίας τάττει.

3. σιαλόχοι· οἱ σίαλον πυκνὸν ἀθροίζοντες.

4. σπαργᾷ· ἀντὶ τοῦ ὀρέγεται, ἐπιθυμεῖ.

8. *fort. e libro De mul. aff.* **9**. *De artic. 45 (IV 192, 5 L.=II 172, 15 Kw.)* ῥαιβοειδέα

1. *Prorrhet. I 114 (V 546, 8 L.)* συχνοί *(Littré, Galenum secutus :* ἰσχνοί *codd.) cf. Hes. IV 112, 23* **2**. *Epid. I 13 aeg. 3 (III 690, 3 L. =I 205, 6 Kw.)* σπληνὸς κατ᾽ ἶξιν *cf. Gal. XIX 106, 9 K. Greg. Cor. Ion. 165* 11 Κατ᾽ ἰητρεῖον] *9 (III 300, 3 L.=II 35, 13 Kw.)* 12 Περὶ καταγμάτων] *De fract. 26 (III 502, 10 L.=II 84, 13 Kw.) all. ll.* 14 β´ καὶ δ´ τῶν Ἐπιδημιῶν] *II 3, 8 (V 110, 4 L.); IV 37 (V 180, 4 L.) all. ll.* **3**. *Epid. II 2, 24 (V 98, 15 L.)* σιαλοχόοι **4**. *Epid. II 6, 21 (V 136, 13 L.)* σπαργᾷ *Greg. Cor. Ion. 163*

2 ἰβίσκον *Steph.* : ἡβίσκον *codd.* 3 ῥυβδοειδέα *codd.* : *correxi* ἀγκυροειδῶς *codd.* : *correxi* ῥυβδὸν *codd.* : *correxi* 12 καταγμάτων] σταγμάτων MO : ταγμάτων L : ἀγμῶν *alias solet,* καταγμάτων *fort. propter similem uocem uicinam in calamum uenit* 13 κληθεῖσαν *Klein* : κινηθείς *codd.* : εἴρηται *coniecerim* 16 σιάλοχοι CKHLMO : σιάλοχος A πικρὸν *codd.* : *corr. Gesner* 17 ἀντὶ τοῦ *ante* ὀρέγεται *Greg. Cor., post illud uerbum codd.* ὀρέγεται C *Greg. Cor.* : ὄρεται *cett.*

5. σ κ ο ρ δ ί ν η μ α· γράφεται καὶ κορδίνημα. οὕτω δ' ἔλεγον οἱ ἀρχαῖοι τὸ καρηβαρεῖν, ὡς καὶ Ἀ ρ ι σ τ ο φ ά ν η ς.

6. σ ή ψ· σηπεδών.

7. σ π ό γ γ ο ι· ⟨οἰδήματος⟩ εἶδος. οὕτως καλεῖ τὰς περὶ τὰ παρίσθμια γιγνομένας φλεγμονὰς μετά τινος χαυνοτάτου πυρετοῦ. ἔνιοι δὲ καὶ τὰ ἐν | τῇ κεφαλῇ πιτυρώδη ἕλκη. **115** οἱ δὲ τὰ ἐν αὐτῇ γινόμενα ὑπόσομφα οἰδήματα καί τινας ἔχοντα κατατρήσεις.

8. σ τ ε γ γ ί δ α· Ἡρακλείδης μὲν ὁ Ταραντῖνος διὰ τοῦ ρ̄ γράψας στρεγγίδα ἐν β΄ Ἐξηγητικῷ τῆς δ΄ Ἐπιδημίας χρυσᾶ φησι ταινίδια εἶναι, οἷς χρῶνταί τινες τῶν θεωρῶν, οὐ κατὰ λόγον νοήσας. οὐ γὰρ διὰ τοῦ ρ̄, ἀλλὰ διὰ τοῦ λ̄ γράφεται. καὶ οὐκ ἔστι χρυσοῦν ταινίδιον, ὡς αὐτὸς οἴεται, ἀλλ' ἡ συνήθης ξύστρα, καθὼς καὶ Μ έ ν α ν δ ρ ο ς μέμνηται καὶ οἱ λοιποὶ τῶν ἀρχαίων.

9. σ κ ε θ ρ ή· † ὁμοία.

10. σ α π ρ ά· σεσηπότα, ὡς καὶ Ἱ π π ῶ ν α ξ ἐν α΄ Ἰάμβων φησί·

μαδῶντα δὴ καὶ σαπρόν.

11. σ ῖ τ ο ς π ο ν η ρ ό ς· νῦν τὸν σῖτον ἀντὶ κοπρίου τέταχεν.

12. σ τ ε ν υ γ ρ ῶ σ α ι· ἀποστεγνῶσαι καὶ πυκνῶσαι τόπον τινά, ἐν ᾧ ἡ ὑγρασία ἐστί.

5. *Epid. II 3, 1 (V 102, 17 L.)* σκορδίνημα *cf.* K **9** *Greg. Cor. Ion. 164* 2 Ἀριστοφάνης] *Acharn. 30* σκορδινῶμαι **6.** *Epid. III 7 (III 84, 8 L. = I 228, 6 Kw.)* σήψ **7.** *Epid. IV 7 (V 148, 8. 11 L.)* σπόγγοι **8.** *Epid. IV 32 (V 176, 9 L.)* στλεγγίδα *(Heringa* : ἐταγγεῖα *codd.)* 14 Μένανδρος] *fr. inc. 1068 K.* **9.** *e cap. 38 Epid. IV (V 180 L.) fluxisse putauerim cf. Gal. XIX 138, 11 K.* **10.** *Epid. V 4 (V 206, 2. 4 L.)* σαπρή. σαπρός *Greg. Cor. Ion. 167* α΄ Ἰάμβων] *fr. 23 B.* **11.** *Epid. V 6 (V 206, 17 L.)* σῖτος πονηρός **12.** *Epid. VI 2, 1 (V 276, 4 L.)* στενυγρῶσαι *fragm.* **28**

1 σκοδίνημα· γράφεται καὶ σκορδίνημα *codd.* : *corr. Steph.* 4 σπογγοειδὲς· οὕτως *codd.* : *correxi et suppleui* 9 στλεγγίδα *a Steph. edd.* 10 γράφαι LMO 11 ταινίδια *Heringa 113* : τετνιδα΄ A : τεστιίδα LMO 13 χρυσοῦ LMO τενίδιον *codd.* 16 ὁμοία *corruptum*: ἀληθής *uel* ἀκριβής *scribendum* 17 ἰάμβῳ LMO

13. σκελιφρούς· τοὺς λεπτοὺς καὶ σκελετώδεις.

14. στόμαχος κύστεως· οὕτω καλεῖ τὸν τῆς κύστεως τράχηλον. καὶ τὸν τῆς μήτρας ἐν α΄ Γυναικείων στόμαχον καλεῖ. |

116 15. συνασκήσει· συναρμόσει.

16. στριφνούς· πυκνούς. καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσί φησι· 'στριφνοὶ γέροντες, πρίνινοι, ἀτέραμνοι, Μαραθωνομάχαι καὶ σφενδάμνινοι'.

17. σομφόν· τὸ χαῦνον.

18. πῖσαι· ποτίσαι

19. σικυώνην· τὴν ἄγριον συκῆν.

20. σοφίην· ὁτὲ μὲν τὴν τέχνην, ὁτὲ δὲ τὴν περιεργίαν. νῦν μέντοι τὴν τέχνην δηλῶν φησι· 'σοφίην παιδεύεται'.

21. σκέπαρνος· εἶδός ἐστι δεσμοῦ ὁ σκέπαρνος, ὅταν ὁ ἐπίδεσμος πλάγιος δεθῇ. μαρτυρεῖ δὲ Ἀσκληπιάδης ἐν τῷ Ἐξηγητικῷ τοῦ Κατ' ἰητρεῖον λέγων· 'ἔστι γὰρ ὁ σκέπαρνος, ὅταν ὁ ἐπίδεσμος ἐπιβάλλων αὐτὸς ἑαυτῷ καὶ χιεζόμενος κλάσιν τινὰ ποιῇ καὶ γωνίαν, οἷον ὅταν ὀρθόλοξος ἐπιδεθῇ'.

13. *De a. a. l. 4 (II 18, 23 L. = I 37, 2 Kw.)* σκελιφρούς **14**. *De a. a. l. 9 (II 38, 11 L. = I 47, 8 Kw.)* ὁ στόμαχος τῆς κύστιος 3 α΄ Γυναικείων] *I 7 (VIII 34, 2 L.) all. ll.* **15**. *glossam ad De a. a. l. 9 (II 38, 20 L. = I 47, 20 Kw.)* συναρπάζει *(Kuehlewein Hermes XL (1905) 251 n. 1 :* συναρμόζει *codd.) pertinere putauerim, cf. app.* **16**. *e libro deperdito De sanitate fluxisse uidetur cf. Hes. IV 85, 6* Ἀχαρνεῦσι] *180* **17**. *De loc. in hom. 2 (VI 278, 19 L.)* σομφόν *Hes. IV 59, 32* **18**. *De loc. in hom. 12 (VI 298, 3 L.)* πῖσαι *Hes. III 336, 50* **19**. *De loc. in hom. 47 (VI 346, 12 sq. L.)* σικυωνίην **20**. *De arte 1 (VI 2, 17 L. = 36, 17 G.)* σοφίην 13 φησι] *l. c.* **21**. *De med. off. 7 (III 292, 1 L. = II 34, 9 Kw.)* σκέπαρνον *fragm.* **65** *cf. Hes. IV 42, 14*

1 σκελεφρούς LMO 5 συνασκήσει *in dubitationem uocauit Klein :* συναρπάζει· συναρμόζει *conieci, cf. test.* 6 στερίφνους *codd. : corr. Klein* 7 στεριφνοὶ *codd. :* στιπτοί *Aristoph.* πρίνιμοι M : πρίνιοι LO ἀτεράμονες *Aristoph.* 8 καὶ *deest apud Aristoph.* 10 πῖσαι *Ermerins II p. XIV :* σπεῖσαι *codd.* 11 συκῆν] σικύην *coni. Foes 566* 12 περιεργείαν LMO 13 παιδεύεται] ἢ πεπαίδευται *Hipp.* 17 ἑαυτῷ *(corr. ex -ὸν)* A : ἑαυτοῦ LMO *post* καὶ *add.* ὡς *Klein* χιεζόμενος *scripsi :* σχιεζουμή *(compend.)* A : σχιεζούμη LMO κλίσιν *Klein* 18 ὀρθόλοξον LMO

22. σ υ ν ο κ ω χ ή· συνοχὴ καὶ σύνοδος, καὶ οἷον σύμπτωσίς
τις. ὡς καὶ | Ὅμηρός φησι· **117**

κυρτώ, ἐπὶ στῆθος συνοχωκότε.

23. σ ί δ η ς· τοῦ τῆς ῥοιᾶς λέμματος.

24. σ α υ ρ ί δ ι ο ν· ἣν ἔνιοι καρδαμίδα καλοῦσι, καρδάμῳ ἐοικυῖαν. ἔστι δὲ θερμαντικὸν τὴν δύναμιν.

25. σ κ ύ τ α· τὸ μεταξὺ τῶν τενόντων [καὶ] τοῦ τραχήλου, ὡς Πετρώνιος † ἐν κάρῃ φησίν· '† αἰγάδες ὑπέκνεον καὶ πάλαι τὰ σχήματα εὐθὺς ἰδὼν καὶ τὰ σκύτα'. καὶ Ἀρχίλοχος λέγων·

πῶς † ἀπέπρησεν τὰν σκύταν.

τινὲς δέ φασι σκύτα λέγεσθαι τὸν νωτιαῖον μυελόν. οἱ δὲ τὸ ἰνίον. οἱ δὲ τὸν μεταξὺ τοῦ μετώπου καὶ τῶν ὀφρύων τόπον, ὅπερ ἐπισκύνιον καλοῦμεν. τινὲς δὲ σκύτα εἶπον τὸ τῆς κεφαλῆς δέρμα. παρ' ὃ καὶ ἡ ⟨κεφαλὴ⟩ σκύτος εἴρηται.

26. σ κ η ρ ὸ ν κ α ὶ σ π ο γ γ ῶ δ ε ς· ἀντὶ τοῦ χαυνόσομφον.

27. σ π ε ρ χ ν ό μ ε ν ο ς· οἱ δὲ χωρὶς τοῦ ν σπερχόμενος. ἔστι δὲ ἐπειγόμενος. |

28. σ υ ρ ι γ γ ῶ δ ε ς· κατατετρημένον. **118**

29. σ ά φ α· σαφῶς, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ φησί·

μέν', ὦ ταλαίπωρε, ἀτρέμα σοῖς ἐν δεμνίοις.
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.

30. σ κ ί λ λ η ς τ ὸ ν η ρ ῶ δ ε ς· ἀντὶ τοῦ τῆς ῥίζης τὸν χυλόν.

31. σ υ κ ῆ ς ἐ ρ ρ ι μ μ έ ν ο υ· τῆς ἀγρίας συκῆς.

22. *De oss. nat. 7 (IX 172, 21 L.)* συνοκωχῆς *cf. Hes. IV 106, 75* 2 Ὅμηρος] B *218* **23.** *De ulcer. 11 (VI 410, 11 L.)* σίδης **24.** *De ulcer. 11 (VI 410, 23 L.)* σαυρίδιον *Gal. XIX 136, 13 K.* **25.—31.** *e libro deperdito De uuln. et tel. fluxisse uidentur* 8 φησίν] *Siculi poetae haec uerba esse coni. Kaibel Com. Gr. fr. I 1, p. VII fr. 173 a* 9 Ἀρχίλοχος] *fr. 122 B.* **27.** *cf. Hes. IV 65, 78* **29.** *cf. Hes. IV 15, 89* Ὀρέστῃ] *258*

1 συνοχωκή A *fort. recte* : συνοχωκός LMO : *corr. Klein* 3 στήθ *codd.* 4 σίδαν LMO : σίδης· ⟨ῥοιᾶς καὶ σίδιον⟩ *suppleuerim* 6 ἐοικεῖαν LMO 7 καὶ *del. Klein* 8 ἐν κάρῃ] Ἐπίχαρμος *coni. Kaibel, cf. test.* ὑπέκναιον *Dindorf* 11 ἀπεπρίσθη σκύτα *Bergk* 15 κεφαλὴ *add. Bergk* 16 χαυνόν, σομφόν *Klein*

32. σπουδή· κακοπάθεια, ὡς καὶ Ὅμηρος·

σπουδῇ τ' ἐξήλασσαν, ἐπεί τ' ἐκορέσσατο φορβῆς.

33. σειρῇ· τῷ ἱμάντι.

34. σκύτινον ὑποκεφάλαιον· δερμάτινον προσκεφάλαιον, ὅπερ καὶ πούλβιον.

35. σίναιτο· μέμφαιτο. καὶ διαβάλοι. καὶ βλάψαι.

36. σαπριοῖ· σεσήποι.

37. σεσάπρισται· σέσηπται, ἔφθαρται.

38. συνθεῖν· συντρέχειν.

39. στρωτῆρα· δοκίδα. |

119 40. σαρκάζειν· οἱ μὲν σαρκοῦν, οἱ δὲ περιτείνειν τὴν ἄνω γνάθον. τῷ εἴδει δὲ κέχρηται ἀντὶ τοῦ γένους. ἔστι γὰρ εἶδος περιτάσεως τὸ σαρκάζειν.

41. στερρωθείη· ὀρθωθείη φησὶ Βακχεῖος ἐν γ'.

42. συμπορσύνοι· συνδῷ.

43. συγκλέπτεται ἡ ῥαφή· ἀντὶ τοῦ παραλογίζεται, ὡς καὶ ἐν ε' Ἐπιδημιῶν φησιν· 'ἔκλεψαν δέ μου τὴν γνώμην αἱ ῥαφαὶ τοῦ βέλεος ἐν ἑαυταῖς ἔχουσαι τὸ σίνος'.

44. σιναρόν· σίνος ἔχον καὶ βλάβην.

32. *De fract. 1 (III 414, 2 L. = II 46, 11 Kw.)* σπουδή Ὅμηρος] Λ *562* **33**. *De fract. 8 (III 444, 7 L. = II 59, 7 Kw.)* σειρῇ *fragm.* **72** **34**. *De fract. 8 (III 444, 11 L. = II 59, 12 Kw.)* σκύτινον ὑποκεφάλαιον **35**. *De fract. 19 (III 482, 3 L. = II 76, 15 Kw.)* σίνοιτο **36**. *e libro De fract. fluxisse uidetur cf. Hes. IV 10, 85 sq.* **37**. *De fract. 33 (III 532, 15 L. = II 97, 16 Kw.)* σεσάπρισται **38**. *De fract. 35 (III 538, 9 L. = II 100, 11 Kw.)* συνθεῖν **39**. *De artic. 7 (IV 90, 13 L. = II 119, 1 Kw.)* στρωτῆρα *fragm.* **79** **40**. *De artic. 8 (IV 96, 13 L. = II 122, 14 Kw.)* σαρκάζειν **41**. *e libro De artic. fluxisse uidetur* **42**. *De artic. 16 (IV 128, 16 L. = II 140, 17 Kw.)* συμπορσύνοι **43**. *De cap. uuln. 12 (III 222, 6 L. = II 15, 2 Kw.)* συγκλέπτει . . . ἡ ῥαφή *cf.* Κ **50** ε' Ἐπιδημιῶν] *27 (V 226, 11 L.)* **44**. *De artic. 34 (IV 158, 3 L. = II 154, 13 Kw.)* σιναροί

2 ἐξήλασαν Α : ἐξήλεσαν LMO 4 σκυτίον *codd.* : *corr. Klein* 6 διαβάλλει LMO βλάψοι *codd.* : *corr. Stephanus Thes. II 270* 7 σαπριοῖ *scripsi* : σεσιοῖ *codd.* 8 σεσάπρισται *Foes 561* : σεσήρισται *codd.* 14 ὀρθωθείς LMO 15 συμπορσύνει LMO 18 αἱ ῥαφαὶ ἔχουσαι ἐν σφίσιν ἑωυτῇσι τοῦ βέλεος τὸ σίνος *Hipp.*

45. σινόμωρα· πονηρά. εἴρηται δὲ παρὰ τὸ σινομεμωρῆσθαι.

46. σκεθροτέρης· Βακχεῖος ἐν α΄ φησὶν ἀληθεστέρας, ἀλλ᾽ οὐκ ὀρθῶς. κεῖται δὲ ὁτὲ μὲν ἀντὶ τοῦ ἀληθοῦς, ὁτὲ δὲ ἀντὶ τοῦ ἀκριβοῦς λογισμοῦ τὸ σκεθρόν. ὡς καὶ Εὐριπίδης ἐν Ἀλκμαίωνί φησι·

γυναῖκες, ὁρμήθητε μηδ᾽ ἀθυμία
σχέθῃ τις ὑμᾶς. ταῦτα γὰρ σκεθρῶς ὁρᾶν
ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην.|

47. σχάσματα· σπάσματα τὰ ἐκ πληγῆς περὶ τὴν γένυν **120**
γιγνόμενα καὶ οἷον στρεβλώματα.

48. σποράδες νοῦσοι· αἱ μὴ ὅμοιαι μηδὲ συνεχῶς ἐν πολλοῖς τόποις καὶ ἀνθρώποις γιγνόμεναι.

49. σπατίλη· τῶν ἅπαξ εἰρημένων. κεῖται δὲ ἐπὶ διαρροίας.

50. σησαμοειδές· Διοκλῆς οὕτω φησὶ καλεῖσθαι τὸν ἐν Ἀντικύρᾳ ἐλλέβορον. ἕτεροι δὲ πόαν τινὰ ἑτέραν.

51. σπαδών· σπασμὸς σώματος.

52. σικύου πάλης· τοῦ ἐκ σικύου γινομένου λεπτοῦ ἀλεύρου.

45. *De artic. 48 (IV 216, 2 L. = II 183, 20 Kw.)* σινάμωρα **46.** *De artic. 50 (IV 220, 4 L. = II 186, 6 Kw.)* σκεθροτέρης 6 Ἀλκμαίωνι] *fr. 87 N.* **47.** *ad De art. 63 (IV 270, 6 L. = II 215, 4 Kw.)* σπασμός *glossam pertinere conieci, cf. app.* **48.** *De uictu acut. I 2 (II 232, 10 L. = I 111, 8 Kw.)* σποράδες . . . νοῦσοι **49.** *De uictu acut. I 9 (II 284, 4 L. = I 123, 10 Kw.)* σπατίλη **50.** *De uictu acut. II 28 (II 514, 8 L. = I 176, 1 Kw.)* σησαμοειδές Διοκλῆς] *fr. 152 Wellm.* **51.** *De morb. I 14 (VI 162, 17 L.)* σπαδών **52.** *De morb. III 17 (VII 160, 4 L.)* σικύου πάλης·

1 σίνω μεμορῆσθαι *codd.* : *corr. Klein* 3 σκεθροτέραν LMO ἀληθεστέραν LMO 4 δὲ] δὲ καὶ C : καὶ *cett.* τοῦ] τῆς LMO 6 ἀλκμαιῶνι L : ἀλκμαιών *cett.* 7 ἀτιμίαν *codd.* : *corr. Vulcanius* 8 σχέθῃ *Vulcanius* : σκεθρὴν *codd.* ὑμῶν *codd.* : *corr. Elmsley* σκεθρῶς ὁρᾶν *Vulcanius* : σκεθρώβοραν A : σκεθρόβοραν LMO 9 τέχνην] τύχην *coni. Nauck* 10 σχάσματα A : σχέσματα KLMO : σπασμοί *conieci, cf. test.* 14 σπατάλη *codd.* : *corr. Eust.* 16 σηκαμοειδές A : σκαμοειδές MO : σαμοειδές L : *corr. Steph. 147* 17 ἐναντικυριελλέβορον *codd.* : *corr. Steph.* 18 σπάδων CK : σπάσδων *cett.*

53. σκυρωθῶσι· σκληρυνθῶσιν καὶ οἷον σκιρωθῶσιν. ἐπειδὴ τὸν σκῖρον σκῦρον ὀνομάζει, ὅτε φησί· 'καὶ ἢν σκυρωθέωσι, ἄρειον τὰ δριμέα προστιθέναι. ὀδάξοντα γὰρ καὶ λεπτὰ καὶ πυρώδη ἐόντα τὸν σκύρον διαχέει. ἢν δὲ λαπαχθῇ, μαλακοῖσιν ἰῆσασθαι'.

54. σφαδάζει· χαλεπαίνει, δυσφορεῖ. ἡ λέξις Ἀττική.|

121 55. σελαχίοισι· τοῖς μικροῖς ἰχθυδίοις ἢ τοῖς ὀστρακοδέρμοις, οἷον καράβοις, καρκίνοις, κήρυξι. μέμνηται τῆς λέξεως καὶ Εὔπολις ἐν Αἰξὶ λέγων·

ὡς δή ποτ' αὐτῶν ἤν κάμῃ τις, εὐθέως
ἐρεῖ· [πρὸς αὐτὸν] πρίω μοι σελάχι'. ἢν τ' ἴδῃ λύκον,
κεκράξεται φράσει τε πρὸς τὸν αἰπόλον.

56. στέατι μηλείῳ· ἀντὶ τοῦ προβατείῳ. μῆλα γὰρ τὰ πρόβατα.

57. σικύου λέμματος· λεπίσματος.

58. σφυγμοὶ πρὸς χεῖρα ψαίροντες· οἱ μὴ εὔτονοι, ἀλλ' ἐκ διαλειμμάτων ἀσθενῶς πλήττοντες. εἴρηται δὲ ἀπὸ τῶν ψαιρόντων ἀρμένων, ἃ δὴ οὐχ ὁμαλῶς ὑπὸ τῶν ἀνέμων φυσώμενα ὁτὲ μὲν χαλαροῦνται, ὁτὲ δὲ πληροῦνται.

53. *De mul. aff. I 18 (VIII 58, 6 L.)* σκυρωθέωσιν (ϑ^{H} : *alii aliter*) *Hes. IV 46, 29*   2 φησί] *De mul. aff. l. c.*   **54.** *De mul. aff. I 38 (VIII 92, 17 L.)* σφαδάζει   *Gal. XIX 143, 18 K.*   **55.** *De mul. aff. I 66 (VIII 138, 21 L.)* σελάχεσι   9 Αἰξί] *fr. 1 K.*   **56.** *De mul. aff. I 79 (VIII 198, 16 L.)* στέατι μηλείῳ   **57.** *De mul. aff. II 117 (VIII 254, 2 L.)* σικύης λέμματα   **58.** *De mul. aff. II 120 (VIII 262, 5 L.)* σφυγμοὶ πρὸς χεῖρα ψαίροντες

1 σκυρωθῶσι *Klein* : σκυρρωθῶσι A : σκιρρωθῶσι LMO   σκιρωθῶσιν *scripsi* : σκιρρωθῶσιν *codd.*   2 σκῖρον *scripsi* : σκίρρον *codd.*   καὶ *om.* ϑ^{H} *post* ἄρειον *add.* γὰρ $\vartheta^{H}C^{H}$ 3 δριμα´ A : δριμαῖα LMO   ὀδάξοντα LMO : ὀδάξαντα A : ἀδαξῶντα $\vartheta^{H}C^{H}$ καὶ *om. Hipp. codd.*   4 πυρώδη LMO : πυρωδ´ A : πυρώδεα *Hipp. codd.*   διαχέει *Hipp.* : διακαεῖ *codd.*   λαπαχθῇ ὁ σκίρ(ρ)ος, μαλθακοῖσιν ἰῆσθαι *Hipp.*   6 σφαλάξει *codd.* : *corr. Steph.*   7 σαλαχίοισι LMO   10 δή *Klein* : ἤ *codd.*   αὐτὸν *codd.* : *corr. Herwerden*   11 πρὸς αὐτὸν *del. Meineke*   πρίω μοι *Herodian. Philet. 453 Piers.* : πριόνοι *codd.*   σελάχιον, τὶ δὲ ἢν *codd.* : *corr. Kock*   12 φράσει τε *Meineke* : φρασεῖται *codd.*   18 ἀνέμων] ἀρεμένων A

59. σπερχνόν· συνεχές.

60. σκόρδιον· βοτάνης ὄνομα.

61. στέαρ ὄϊος· τὸ τοῦ προβάτου. |

62. σκαφίδα· τὴν ποιμενικὴν σκάφην οὕτω καλοῦσιν 122 Ἀττικοί.

63. σκυτίνην· πεπιλημένην καὶ πεπυκνωμένην.

64. συναρθμοῦται· συναρμόζεται καὶ συνενοῦται. ἀρθμὸς γὰρ λέγεται ἡ εὔνοια καὶ ἡ φιλία, ὡς καὶ Καλλίμαχός φησιν·

ἀρθμὸν δ᾽ ἀμφοτέροις καὶ φιλίαν ἔταμον.

65. σμηκτρίδα γῆν· τὴν κιμωλίαν.

66. σκορόδου φύσιγγα· τὸ ἔξωθεν λέμμα.

67. σκυλάκια σιαλώδεα· κύνεια κρέα λιπαρά.

68. συνέβησε· συνεβίβασεν.

ΑΡΧΗ ΤΟΥ Τ

1. τολμᾶν· ὑπομένειν. ὅθεν καὶ τολμηροὺς τοὺς πάντα ὑπομένοντας λέγομεν.

2. τρύζειν· οἱ δὲ στρύζειν. ἔστι δὲ τὸ μετὰ ἀσήμου ψόφου διαχωρεῖν. εἴρηται δὲ ἀπὸ τῆς τρυγόνος, ὅτι ἀσήμως καὶ γογγυστικῶς φθέγγεται, ὡς καὶ Ὅμηρός φησιν·

59. *De mul. aff. II 129 (VIII 278, 5 L.)* σπερχνή *cf. Gal. XIX 139, 18 K.* 60. *De mul. aff. II 133 (VIII 286, 9. 20 L.)* σκόροδα. σκορόδων 61. *De mul. aff. II 158 (VIII 336, 17 L.)* ὄϊος στέαρ 62. *De mul. aff. I 86 (VIII 210, 19 L.)* σκαφίδα *Gal. XIX 138, 7 K.*
63. *e libro De mul. aff. fluxisse uidetur* 64. *De mul. aff. II 169 (VIII 348, 7 L.)* συναρθμοῦται *Gal. XIX 143, 5 K.* 8 Καλλίμαχος] *Aet. fr. 199 Schn.* 65. *De mul. aff. II 189 (VIII 370, 2 L.)* σμηκτρίδα γῆν *Gal. XIX 139, 11 K.* 66. *De fist. 3 (VI 448, 14 L.)* σκορόδου φύσιγγα 67. *De steril. 217 (VIII 420, 11 L.)* σκυλάκια σιαλώδεα *fragm.* 93 *cf. Gal. XIX 137, 12 K.* 68. *Presbeut. (IX 412, 3 L.)* συνενέβησε (συνέβησε *K*[II])
1. *Prognost. 1 (II 110, 5 L. = I 78, 7 L.)* τολμᾶν 2. *Prognost. 11 (II 134, 17 L. = I 88, 5 Kw.)* τρύζειν 20 Ὅμηρος] I *311*

2 σκόρδιον *scripsi praeeunte Klein* : σκορδίου *codd.* 6 πεπιλημένην AO[1] : πεπλημένην LMO 7 συναριθμοῦται *codd.* : *corr. Steph.* ἀριθμὸς *codd.* 10 ἀριθμὸν *codd.* 15 τ] ταῦ A

ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος, |

123 ἀντὶ τοῦ ἀσήμως καὶ γογγυστικῶς λαλῆτε. ὁ μέντοι Βακχεῖος ἐν β´ φησὶ τρύζειν εἶναι τὸ μετά τινος στροφώδους περιωδυνίας καὶ προθυμίας διαχωρεῖν.

3. **τροφιωδέων**· σποδιωδῶν. τροφιὰ γὰρ ἡ σποδιὰ λέγεται.

4. **τὸ θηριῶδες**· οἱ μὲν ἔφασαν αὐτὸν ἐπὶ τῶν κακοήθων ἑλκῶν τεταχέναι τὴν λέξιν, ἅπερ θηριώματα λέγεται, ἃ δὴ ὡς ἐπίπαν ἐν φθινοπώρῳ αὔξεται διὰ τὴν τοῦ ἀέρος ἀνωμαλίαν. οἱ δὲ ἐπὶ τῶν μικρῶν ἑλμίνθων ἐνόμισαν. τότε γὰρ καὶ αὗται γεννῶνται. ἔνιοι δὲ τὴν φθίσιν ἐνόμισαν.

5. **τόνοι**· τὰ περιτεταμένα σώματα ταῖς σαρξίν, οἷον φλέβας, νεῦρα καὶ τὰ ὅμοια, τόνους ὀνομάζει ἀπὸ τοῦ περιτετάσθαι, ἐνίοτε δὲ τὰ νεῦρα μόνον. ἔνιοι δὲ τοὺς ὑμένας ἔφασαν.

6. **τίτανος**· ἡ κονία.

7. **τυφώδεες**· τυφώδεις λέγονται πυρετοὶ οἱ μετὰ νωθρείας γιγνόμενοι καὶ μετ᾽ ἐπιτάσεως ἐξιστάμενοι.

8. **τριταιοφυεῖς**· ὁ μὲν Ἱπποκράτης Ἴων τριταιο-
124 φυεῖς φησι λέγεσθαι | τοὺς τριταίους εὐφωνίας χάριν. Φιλωνίδης δὲ ὁ Σικελὸς τοὺς ἐν συνεχείᾳ παρανομίαν ἐμφαίνοντας. τὸ δὲ παρανομίαν ἐπισημαίνειν, ἐν εἰλικρινείᾳ γενομένης τῆς διαλείψεως, ἴδιον ἦν τριταίου. τοὺς ⟨δὲ⟩ εὐλόγως μὲν παρανομίαν ἐπισημαίνοντας, μὴ ἔχοντας δὲ εἰλικρινὲς τὸ μεταξὺ διάλειμμα οὕτως ὠνόμασεν, ἐπειδὴ πολλὴν ὁμοιότητα πρὸς τὸν τριταῖον ἔχουσιν. εἰσὶ δὲ οἱ λεγόμενοι μικροὶ ἡμιτριταῖοι.

9. **τεῦχος**· τὸ ἀγγεῖον ἀκουστέον τὸ περιέχον τὰς σάρκας καὶ τὰ νεῦρα. δέρμα δὲ τὸ κάλυμμα τοῦ τεύχους ὀνομαστέον.

3. *Prorrhet. I 156 (V 566, 13 L.)* στροφιωδέων **4**. *Epid. II 1, 3 (V 72, 12 L.)* τὸ θηριῶδες **5**. *Epid. II 4, 2 (V 124, 9 L.)* τόνοι **6**. *Epid. II 5, 24 (V 132, 9 L.)* τίτανος *cf. Hes. IV 160, 75* **7**. *Epid. IV 2 (V 144, 12 L.)* τυφώδει **8**. *Epid. IV 20 (V 156, 22 L.)* τριταιοφυέες **9**. *Epid. VI 2, 1 (V 276, 6 L.)* τεῦχος, δέρμα *fragm.* **91**

1 τρύζηται *codd.* 2 λαλεῖτε A : λαλεῖται LMO : *corr. Steph.* 18 Ἴων *suspectum, fort. delendum* 21 γινομένης LMO 22 τριταίου C : τριταίως *cett.* εὐλόγως μὲν τοὺς *codd.* : *transposui et suppleui*

10. τέγξις· διάβρεξις.

11. τὰ φήρεα· οἱ μὲν συνεσταλμένως ἀναγινώσκοντες ῥίζαν φασὶν εἶναι πυκνωτικήν, οἱ δὲ ἐξέτειναν τὸ ἔσχατον α, ἵν' ᾖ ὄνομα Αἰολικὸν τοῦ τὰ φηρία. ἰδίως δὲ τὰ φήρεα λέγει ἀντὶ τοῦ φάρεα, ἅπερ εἰσὶν ἱμάτια.

12. τετάρσωται· πεπλάτυται, ἐκτέταται.

13. τράμιν· τὸν ὄρρον, ὅνπερ καὶ ὑποταύριον καλοῦμεν. ὡς καὶ Ἱππῶνάξ φησιν· |

ἐκτίλλοι τις αὐτοῦ τὴν τράμιν ὑποργάσαι. 125

μέμνηται καὶ Ἀρχίλοχος. Λυσίμαχος δὲ τὸν σφιγκτῆρα.

14. τεθραμμένον· πεπηγότα. θρέψαι γὰρ Ἀττικοὶ τὸ πῆξαι ἔλεγον. καὶ τρόφαλιν τὸν πεπηγότα τυρόν.

15. τάχα· ταχέως.

16. τύρβη· ταραχή.

17. τιμωρέουσα· βοηθοῦσα. ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ φησιν·

ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην
σὺν τοῖς ἐφηβήσασι [καὶ] τῶν ὀλωλότων.

18. τυχασάμενον· στοχασάμενον.

19. τηλοτέρω· μακροτέρω.

20. τύρσις· Βακχεῖος ἐν α΄ φησὶ σκηνὴ ἢ πύργος ἢ προμαχών.

10. *Epid. VI 8, 9 (V 346, 15 L.)* τέγξις **11**. *Epid. VI 3, 6 (V 296, 1 L.)* τὰ φηρεῖα **12**. *De oss. nat. 12 (IX 182, 13 L.)* ἐκτετάρσωται *cf. Gal. XIX 146, 3 K.* **13**. **15**. *e libro deperdito De uuln. et tel. fluxisse uidentur* 8 Ἱππῶναξ] *fr. 84 B.* 10 Ἀρχίλοχος] *fr. 195 B.* **15**. *cf. Hes. IV 134, 82* **16**. *De fract. 22 (III 490, 11 L. = II 79, 11 K.)* τύρβην **17**. *De artic. 11 (IV 110, 9 L. = II 130, 12 Kw.)* τιμωρεούσας 16 Οἰνεῖ] *fr. 559 N.* **18**. *De artic. 4 (IV 86, 1 L. = II 116, 3 Kw.)* στοχασάμενον *cf. Hes. IV 188, 14* **19**. *De artic. 53 (IV 236, 13 L. = II 196, 6 Kw.)* τηλοτέρω **20**. *De artic. 43 (IV 186, 4 L. = II 169, 12 Kw.)* τύρσιν *fragm.* **51** *cf. Hes. IV 187, 83 sq.*

3 α *Eust.* : πρῶτον *codd.* 4 τὰ φηρία *dubit. scripsi* : ταφηρίες *codd.* φήρεα *Klein* : φήρατα *codd.* 7 ἱππόταυρον *codd.* : *corr. Bergk* 9 ἐκτίλλοι *Steph.* : ἐξτίλλοι *codd.* : ἐκ ⟨τρίχας⟩ τίλλοι *coni. Bergk ante* ὑποργάσαι *add* θ' *Meineke* 10 σφυκτῆρα *codd.* : *corr. Eust.* 15 *post* βοηθοῦσα *intercidisse uelut* ποτὲ δὲ κολάζουσα *coni. Eust.* 16 οἴνῃ *codd.* : *corr. Fabricius* 18 καὶ *del. Grotius* 19 τυχεσσάμενον LMO

21. τρυχίων ἐρινέων· ἐρινέων ῥακῶν.

22. ταλαιπωρίῃσιν· ἐνεργείαις. |

126 23. τέκμαρσις· σημείωσις.

24. τέτραμος· ὁ τρόμος.

25 † τάφις· ἡ σταφίς.

26. τρυλισμός· ὀνοματοπεποίηται ἡ λέξις ἀπό τινος ποιοῦ ψόφου.

27. τὸ χρῶμα ἀφυῶδες καὶ τὸ πρόσωπον μετάρσιον· ἀφυῶδες μὲν χρῶμα λέγεται τὸ λευκοπέλιον ἀπὸ τῆς ἀφύης τοῦ ἰχθυδίου ὠνομασμένον. μετάρσιον δὲ κυρίως μὲν τὸ ὑψηλὸν λέγεται, καταχρηστικῶς δὲ καὶ τὸ ἐπηρμένον εἰς ὄγκον ὠνόμασεν.

28. τοὺς ὀδόντας ἐρήρεισται· ἀντὶ τοῦ ἐνηρεικότας καὶ ἐσφιγμένους τοὺς ὀδόντας ἔχειν.

29. τὸ τέρθρον τοῦ πάθεος· ἀντὶ τοῦ τὸ τέλος. τέρθρον γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ἔσχατον καὶ ἐπὶ τέλει, ὡς καὶ Εὐριπίδης ἐν Εὐρυσθεῖ ποιεῖ τὸν Ἡρακλέα λέγοντα οὕτως·

πέμψεις δ᾽ ἐς Ἅιδου ζῶντα καὶ οὐ τεθνηκότα
καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι.

καὶ Ἀπολλόδωρος ὁ τοὺς Ὕμνους γράψας φησί·

21. *De artic. 78 (IV 312, 9 L. = II 237, 7 Kw.)* τρυχίων ἐρινέων **22**. *De artic. 58 (IV 254, 7 L. = II 206, 16 Kw.)* ταλαιπωρίῃσιν **23**. *De uictu acut. I 1 (II 224, 8 L. = I 109, 10 Kw.)* τέκμαρσιν **24**. *De morb. I 24 (VI 190, 3 L.)* τέτραμος ϑ^{H} (τρόμος *uulg.*) *cf. Gal. XIX 146, 8 K. Hes. IV 148, 53* **25**. *e libris De morb. fluxisse uidetur* **26**. *De mul. aff. I 32 (VIII 76, 15 L.)* τρυλισμός $\vartheta^{H}C^{H}$ (τρυσμός *uulg.*) **27**. *De mul. aff. II 110 (VIII 238, 4 L.)* τό τε χρῶμα ἀφυῶδες καὶ τὸ πρόσωπον μετάρσιον **28**. *De mul. aff. II 127 (VIII 272, 10 L.)* τοὺς ὀδόντας ξυνερήρεισται **29**. *De mul. aff. II 125 (VIII 268, 10 L.)* τὸ τέρθρον (ϑ^{H} : τὸ στερεὸν *uulg.*) . . . τοῦ πάθεος 17 Εὐρυσθεῖ] *fr. 371 N.* 20 Ἀπολλόδωρος] *p. 378 B.*

1 τραχέων *codd.* : *corr. Foes 622* ἐρέων *utroque loco codd.* : *corr. Foes 622* 5 (*lemma*) ἀσταφίς *uel fort.* ὀσταφίς *Erot. scripsisse putauerim* 6 τραυλισμός *codd.* : *correxi* 10 ὠνομασμένου LMO *post* μὲν *iterant* κυρίως MO 13 ἐρήραται (-είρ- LMO) *codd.* : *corr. Klein* ἐριρεικότας LMO 14 τοὺς ὀδόντας *ante* καὶ *transp.* LMO 15 πάθους LMO 18 εἰς *codd.* : *corr. Nauck* 19 εἰ πορεύομαι *coni. Bothe*

τίς τοιῇδ᾽ ὥρῃ
ἦλθεν ἐπὶ τέρθρον θυράων; |

ἀντὶ τοῦ ἐπὶ τέλει τῶν θυρῶν. καὶ ⟨οἱ⟩ περὶ ναῦν ἔμπειροι 127 τερθρίους κάλους ὀνομάζουσι τοὺς ἐπὶ τέλει τοῦ ἱστοῦ.

30. τὰ λέγνα τῆς ὑστέρης· ἀντὶ τοῦ τὰ πέριξ. λέγνα γὰρ ἐκάλουν οἱ ἀρχαῖοι τὰς τῶν ἱματίων ὤας, ὡς καὶ Καλλίμαχός φησι λέγων·

† τὸν τῶν κανόνων ἐσιπερὶξ λεγνότων χιτῶνα.

ἐντεῦθεν δηλῶν, ὡς τὸ λέγνον τὴν ᾤαν σημαίνει καὶ οἷον τὸ πέρας.

31. τὰ ἐπιμήνια ἐπηλυγάζονται· ἀντὶ τοῦ ἐπέχονται καὶ ἐμποδίζονται. ἠλύγη γὰρ παρ᾽ Ἀττικοῖς ἡ σκιὰ λέγεται, ὡς καὶ Θουκυδίδης ἐν ϛ´ φησίν· 'ἵνα τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται', ἀντὶ τοῦ συσκιάζωνται.

32. τάμισον· τὴν πιτύαν, ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς.

33. τριχιάσηται· τριχίασις λέγεται ἡ περὶ τοὺς μαστοὺς ἀπόστασις.

34. τὰ διαφανέα σιδήρια· τὰ διάπυρα καυτήρια. |

3 *sq. cf. Strecker, De (Lycophr. Euphron.) Eratosth. 73 fr. 135* **30**. *De mul. aff. II 144 (VIII 318, 4 L.)* τὰ λέγνα τῆς ὑστέρης *cf. Gal. XIX 117, 14 K.* 6 Καλλίμαχος] *fr. 499 Schn.* **31**. *De mul. aff. II 156 (VIII 330, 19 L.)* τὰ ἐπιμήνια ἐπηλυγάζονται *cf.* E **76** 13 Θουκυδίδης ἐν ϛ´] *VI 36, 2* **32**. *De mul. aff. II 192 (VIII 372, 19 L.)* τάμισον *Gal. XIX 145, 7 K. Hes. IV 127, 8* Θηριακοῖς] *577* **33**. *De mul. aff. II 186 (VIII 366, 21 L.)* τριχιήσῃ **34**. *De haemorrh. 2 (VI 436, 18 L.)* διαφανέα τὰ σιδήρια

1 *ante* ὥρῃ *add.* ἐν *Meineke Bergk* 3 οἱ *add. Steph.* 4 τερθρίους K : τερθρία *cett.* ὀνομαστοὺς *codd.* : *corr. Steph.* 5 ὑστέρας LMO πέριξ *scripsi* : περιττὰ *codd.* 7 λέγων τὸν ⸢τῶν κανόνων ὥῃσι πέριξ λεγνωτόν⸣ χιτῶνα *Schneider* 8 ἐσιπέριξ A : ἐπιπέριξ LMO 11 ἐπιλυγάζονται LMO 13 ἵνα] ὅπως *Thuc.* 15 θηριακῇ LMO

128 ## ΑΡΧΗ ΤΟΥ Υ

1. **ὑποφάσιας**· τὰς ὑποφαινομένας ὀφθαλμῶν κινήσεις.

2. **ὕσματα**· ἀντὶ τοῦ ὕματα, ὅ ἐστι βρέγματα. ὕειν γὰρ τὸ βρέχειν. τέτακται δὲ ἡ λέξις ἀπὸ τοῦ ὑετοῦ.

3. **ὑπόβρυχα**· τὰ κατὰ βάθος κείμενα καὶ οἷον ὑποβύθια. εἴρηται δὲ ἀπὸ τῶν καταδυομένων πλοίων.

4. **ὑδατόχροα οὖρα**· τὰ ὕδατος ἔχοντα χροιάν.

5. **ὑδαταινούσῃσιν**· ὑδρωπιώσαις.

6. **ὑπερινωμένος**· ὑπερκαθαιρόμενος. ἴνησις γὰρ ἡ κάθαρσις λέγεται.

7. **ὑδεροῦν**· τὸν ὕδερον. Ἐπικλῆς δέ φησι τὸ ὑδρηλὸν χωρίον εἰρῆσθαι, οὐ νοήσας, ὅτι ἐπὶ τοῦ ὑδρωποῦ τάσσει τὴν λέξιν.

8. **ὑγιηρὸς γόνος**· ἀντὶ τοῦ ὑγιηρὸν σπέρμα.

9. **ὑπερτέρη**· ὑπερβάλλουσα καὶ ὑπεράγουσα.

10. **ὕποφρον**· κρυφαῖον, ὥς φησιν ὁ Ταραντῖνος. μαρτυρεῖ γὰρ ὁ Σοφοκλῆς ἐν Ἠριγόνῃ λέγων·

> νῦν δ' εἱρὴ ὕποφρος ἐξ αὐτῶν ἕως
> ἀπώλεσέν τε καὶ αὐτὸς ἐξαπώλετο. |

129 μέμνηται ὁ αὐτὸς καὶ ἐν Ἰφιγενείᾳ. καὶ Ἱπποκράτης δὲ σαφὲς ποιεῖ λέγων· 'οὐθὲν ὅτι καὶ ὕποφρον καὶ ἔχον περὶ

1. *Prognost.* 2 *(II 116, 11 L.—I 80, 18 L.)* ὑποφάσιας 2. *De hum.* 18 *(V 498, 12 L.)* ὑσμάτων 3. *Epid.* I 11 *(II 676, 5 L. = I 201, 4 Kw.)* ὑποβρύχια 4. *Epid.* III 3, 17 *aeg.* 16 *(III 146, 11 L.= I 244, 21 Kw.)* ὑδατόχλοα 5. *Epid.* VI 1, 6 *(V 268, 11 L.)* ὑδαταινούσῃσιν 6. *Epid.* VI 5, 15 *(V 320, 9 L.)* ὑπέρινον *cf. Gal.* XIX 148, 15 K. 7. *De a. a. l.* 4 *(II 22, 10 L. = I 38, 9 Kw.)* ὕδρωπες 8. *aut De a. a. l.* 14 *(II 60, 1 L.=I 56, 10 Kw.) aut De morbo sacro* 2 *(VI 364, 20 L.)* γόνος . . . ὑγιηρός 9. *non repperi* 10. *De arte* 10 *(VI 18, 11 L. =50, 20 G.)* ὕπαφρον 17 Ἠριγόνῃ] *fr.* 215 *N.* 20 Ἰφιγινείᾳ] *fr.* 291 *N.* Ἱπποκράτης] *De arte l. c.*

12 ὑδρώπου *codd.* : ὕδρωπος *a Steph. edd.* 16 κρύφεον *codd.* : *corr. Steph.* 17 ἐν σμηριγόνῃ *codd.* : *corr. Causobonus Animaduers. in Athenaeum lib. VII cap. IV* 19 ἀπώλεσε *codd.* 21 οὐδὲν ὅτι οὐχ ὑπαφρόν ἐστι καὶ *Hipp.*

αὐτὸ θαλάμας᾽. εἰ οὖν αἱ καταδύσεις θαλάμαι λέγονται, εἰκότως πᾶν τὸ σκεπόμενον κρυφαῖόν ἐστι καὶ ὕποφρον.

11. ὑπόξηρα· τὰ ἐκ πλάτους εἰς μύουρον ἠγμένα.

12. ὑπονησαμένη· ὑποσωρεύσασα, ὑπελθοῦσα.

13. ὑποκρίνεται· ἀφίσταται καὶ διανίσταται.

14. ὑπένερθεν· ἀντὶ τοῦ κάτωθεν.

15. ὕπομβρον ὀστέον· ὑπόνομον καὶ κάθυγρον γεγονός.

16. ὑπηλάτῳ· τῷ τὴν κάτω κοιλίαν καθαίροντι. παρὰ τὸ ὑπελαύνειν εἰρημένον.

17. ὑποκρινέσθω· ἀποκρινέσθω.

18. ὑποτεῖναι· ὑποθεῖναι. καὶ ὑποτεταμένον τὸ ὑποκείμενον ξύλον, τὸ οἷον βάθρον, ὡς καὶ Φρύνιχος ἐν Κρόνῳ φησί· |

κείνη μεμνήσθω με ξύλον ὑποτεταμένον. 130

19. ὑπενέγκασθαι· ὑποβιβάσαι.

20. ὑποτοπέεσθαι· ὑπονοεῖν.

21. ὑπαείροντας· μετακινοῦντας.

22. ὑποφθάλμιον· τὸ κύλον τοῦ ὀφθαλμοῦ.

23. ὑπίλλει· ὑποστρέφει. ὡς καὶ Εὐριπίδης ἐν Οἰδίποδί φησιν·

οὐρὰν ὑπίλλει ὑπὸ λεοντόπουν βάσιν.

11. *De med. off. 9 (III 298, 3 L. = II 35, 10 Kw.)* ἀπόξεα **12.** *De oss. nat. 18 (IX 192, 22 L.)* ὑπονησαμένη (ὑπονεμησαμένη *codd.*) *cf. Hes. I 252, 2* **13.** *saepe occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat* **14.** *non repperi* **15.** *De cap. uuln. 15 (III 242, 14 L. = II 22, 1 Kw.)* (ὀστέον) ὑπόπυον **16.** *e libro De uuln. et ul. fluxisse uidetur* **17.** *De fract. 9 (III 450, 3 L. = II 62, 1 Kw.)* ὑποκρινέσθω **18.** *De fract. 13 (III 464, 13 L. = II 68, 14 Kw.)* ὑποτείνας 12 Κρόνῳ] *fr. 11 K.* **19.** *e libro De artic. fluxisse uidetur* **20.** *De artic. 33 (IV 148, 14 L. = II 151, 3 Kw.)* ὑποτοπέεσθαι (*Littré*: ὑποτυπέεσθαι *codd.*) **22.** *De mul. aff. I 11 (VIII 44, 17 L.)* ὑποφθάλμια **23.** *non repperi* Οἰδίποδι] *fr. 540 N.*

2 κρύφεον *codd.* 4 ἀπελθοῦσα LMO 5 ὑποκρίσεται *codd.*: *correxi* 6 ὑπένδεθεν LMO 8 ὑπηλατ´ A 11 ὑποτεταγμένον *codd.*: *corr. Steph.* 14 μεν *(sic)* A ὑποτεταγός *codd.*: *correxi* 17 ὑπερέοντας *codd.*: *dubit. correxi*: ὑπαιρέοντας *coni. Klein* 18 κοῖλον *codd.*: *correxi* 19 ὑπίλλει *scripsi. cf. Solmsen Untersuch. z. griech. Laut- u. Verslehre 230*: ὑπείλλει *codd.* 21 ὑπείλλει *codd.*: ὑπίλας *Aelian. N. H. 12, 7*: ὑπήλας *Athenaeus 701 B*

ΑΡΧΗ ΤΟΥ Φ

1. φῦσαν· νῦν μὲν ⟨καὶ⟩ ἐν Ἀφορισμοῖς καὶ ἐν α´ καὶ δ´ Ἐπιδημιῶν τὴν δι᾽ ἕδρας δυσώδη πνοὴν λέγει. ἐν δὲ τῷ Περὶ φυσῶν καὶ ἐν τῷ Περὶ ἀρχαίης ἰητρικῆς τὰ ἐν ἡμῖν πνεύματα. ἐν δὲ τῷ Περὶ χυμῶν τὸ ἐμφύσημα λέγει. |

131 2. φακῶν ἐρέγματα· ἀντὶ τοῦ διαιρήματα. καὶ γὰρ ἐρεγμὸς κυρίως λέγεται ὁ δίχα διῃρημένος κύαμος.

3. φλεδονώδεα· φλεδονώδεα οὖν ἐκάλεσε τὰ μετὰ φλυαρίας καὶ πνευματώδους ταραχῆς ἐκκρινόμενα. ἄλλοι δέ φασι μὴ δεῖν γράφειν φλεδονώδεα, ἀλλὰ φλεβονώδεα, ὡς εἶναι τὰ μετ᾽ ἀλγήματος οἰδήματα. οἱ δὲ τὰ μετὰ σφυγμοῦ, οἱονεὶ φλεβονώδη εἶναι, τοῦ Ἱπποκράτους μηδόλως ὀνομάσαντος ἄλγημα. ἔστιν οὖν τὰ ἐν κινήσει καί τινι ταραχῇ ὄντα. φλέβας γὰρ οἱ ἀρχαῖοι καὶ τὰς ἀρτηρίας ἐκάλουν. φησὶ γὰρ αὐτός· 'τὰ οὖν γινόμενα ῥίγεα μεθ᾽ ἡμέρην καὶ κατὰ νύκτα ἐπιπαροξυνόμενα ἀγρυπνίην ποιέει, καὶ τὰς φλέβας δονέει καὶ ταράσσει, καὶ πυκνότερον καὶ σφοδρότερον τὸ κίνημα ποιέει'. φλέβας δὲ οὐ τὰς συνήθως λεγομένας, ἀλλὰ τὰς ἀρτηρίας ὠνόμασε. καὶ ὁ Δημόκριτος δὲ φλεβοπαλίην καλεῖ τὴν τῶν ἀρτηριῶν κίνησιν.

4. φλαῦρος· πανταχοῦ τὸ φλαῦρον ἐπὶ τοῦ κακοῦ τάσσει. |

1. *Prognost. 11 (II 138, 6 L. = I 89, 5 Kw.)* φῦσαν Ἀφορισμοῖς] *4, 73 (IV 528, 5 L.)* α´ Ἐπιδημιῶν] *10 (II 670, 13 L. = I 199, 22 Kw.)* 3 δ´ Ἐπιδημιῶν] *31 (V 176, 3 L.)* 4 Περὶ φυσῶν] *passim* Περὶ ἀρχαίης ἰητρικῆς] *10 (I 592, 10 L. = I 11, 11 Kw.): 22 (I 630, 6 L. = I 28, 12 Kw.)* Περὶ χυμῶν] *uelut 1 (V 478, 5 L.)* **2**. *e Prorrhet. I 21 (V 516, 2 L.) aut 53 (V 524, 1 L.) fluxisse putauerim* **3**. *Prorrhet. I 101 (V 540, 3 L.)* φλεδονώδεα *(de codd. uide app. Littréi)* *fragm.* **7**
14 φησὶ] *Prorrhet. l. c.* 19 Δημόκριτος] *fr. B 120 Diels*
4. *Prorrhet. I 103 (V 540, 7 L.)* φλαῦρα *cf. fragm.* **75**

2 καὶ *addidi praeeunte Eust.* : ὡς *Klein* 3 δυσωδίαν LMO 4 περὶ *(prius) in sequente pag. iterat A* 8 *(bis)*. 10 φλενοδω$^{\delta\alpha'}$ A : φλενοδώδη LMO : *corr. Eust.* 11 σφυγμοῦ CR^{H} : σφλυγμοῦ A : φλυγμοῦ LMO 15 τὰ ἐπιρριγοῦντα καὶ ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα. ἄγρυπνα *Hipp.* 16 καὶ . . . 18 ποιέει *desunt apud Hipp.* 17 πυκνότατον καὶ σφοδρότατον LMO 18 συνήθεις LMO 19 φλεβοπαλίη LMO 21 τοῦ *om.* LMO τάσσει A : τάσσεται LMO

5. φωναὶ κατείλλουσαι· ἀντὶ τοῦ κατεχόμεναι. εἴλλειν 132
γὰρ τὸ συνέχειν καὶ συγκλείειν οἱ Ἀττικοὶ λέγουσιν. ὁ δὲ Βακχεῖος οὐ καλῶς ἐξηγήσατο τὴν λέξιν, παρεγκεκλιμένας φήσας. ὁ δὲ Φακᾶς Διοσκουρίδης κατείλλειν φησὶν εἶναι τὸ καθείργειν καὶ κατακλείειν, ὡς δηλοῦσθαι τὸ βραχὺ τῆς φωνῆς καὶ μόλις ἀκουόμενον.

6. φολλικώδεα· τὰ ἐφηλώδη καὶ λεπρώδη. οἱ γὰρ παλαιοὶ φόλλικας ἐκάλουν τὰς ψωρώδεις τραχύτητας.

7. φλεγμονὴ ὑπολάπαρος· ἡ χωρὶς συντάσεως γινομένη.

8. φοξοί· οἱ ὀξυκέφαλοι καὶ προμέτωποι.

9. φλυδᾶν· διαχεῖσθαι καὶ διαπηδᾶν καὶ διαπίπτειν.

10. φαρμάκῳ ἰσχυτηρίῳ· ἀντὶ τοῦ ἰσχαίμῳ.

11. φρένας· ἐκάλουν οἱ ἀρχαῖοι τὸ διάφραγμα.

12. φιλεῖ· εἴωθεν. |

13. φολίδα χαλκοῦ· τὴν λεπίδα. 133

14. φαλακροῖσι· περιφερέσι.

15. φαρμάκοισι πλατυοφθάλμοις· οὕτω φησὶ καλεῖσθαι Ἐπικλῆς τὸ στίμι καὶ Νίγρος.

5. *Epid. III 5 (III 76, 7 L. =I 226, 22 Kw.)* φωναὶ . . . κατίλλουσαι *cf. Gal. XIX 83, 16 K.* **6**. *Epid. IV 20 (V 158, 10 L.)* φολλικώδεα **7**. *Epid. I 13 aeg. 12 (II 710, 15 L.=I 212, 17 Kw.)* φλεγμονὴ ὑπολάπαρος **8**. *Epid. VI 1, 2 (V 266, 5 L.)* φοξοί *cf. Hes. IV 253, 40* **9**. *De morbo sacro 13 (VI 386, 7 L.)* φλυδᾶν *Hes. IV 250, 52* **10**. *De loc. in hom. 20 (VI 312, 7 L.)* φαρμάκῳ ἰσχυτηρίῳ *(scripsi:* ἰσχητηρίῳ *codd.)* **11**. *aut De prisca med. 22 (I 634, 1 L.= I 29, 13 Kw.) aut De oss. nat. 1 (IX 168, 12 L.)* φρένας **12**. *De fract., uelut 8 (III 448, 3. 5 L.=II 60, 19 Kw.)* φιλεῖ *cf. Hes. IV 243, 62* **13**. *De ulcer. 13 (VI 416, 10 L.)* τὴν λεπίδα τοῦ χαλκοῦ *cf. Hes. IV 253, 29* **14**. *De artic. 11 (IV 106, 11 L.=II 128, 14 Kw.)* φαλακροῖσι **15**. *De artic. 67 (IV 278, 15 L.=II 219, 15 Kw.)* πλατυοφθάλμοισιν B^{II2} *(om.* $B^{II}M^{II}V^{II}$*)* 19 Νίγρος] *fr. 17 Wellm. (Dioscur. III p. 148)*

1 εἰλεῖν *codd.* 4 διοσκελήσεις LMO 7 φολλικω$^{\delta\alpha}$ A : φολλικω$^{\delta}$ LMO ἐφιλώ$^{\delta}$ *codd. : corr. Eust.* 8 ψωρω$^{\delta}$ A 11 καὶ προμέτωποι *om.* C προ · · μέτωποι *(sic)* K 12 φλυδᾶν A : φλιδᾶν LMO διαχεῖσθαι *ex Hesychio Foes 662* : διικνεῖσθαι *codd.* διαπηδᾶν] διαμυδᾶν *coni. Klein coll. Gal. XIX 152, 11 K.* διαπίπτειν *Foes* : διαπίνειν *codd.* 13 ἰσχητηρίῳ *codd. : correxi* 19 στίμι A : στίμμι LMO

16. φλιαί. τὰ ἑκατέρωθεν τοῦ βάθρου ὄρθια ξύλα, ἐν οἷς οἱ ἄξονες περιέχονται.

17. φορίνης· πυρίνης. φησὶν οὕτως Ἀριστοφάνης ὁ γραμματικός.

18. φλαύρως ξυναλθέεται· κακῶς ὑγιάζεται.

19. φῷδες· ἔστι μὴν ἡ λέξις Δωρική, καλοῦσι δὲ φῷδας τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ ποδὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα. ἐσχημάτισται δὲ ἡ λέξις ἀπὸ τοῦ φωτὸς καὶ ἐρεύθους, ὡς Διοκλῆς ὁ Καρύστιός φησιν· ʽὁτὲ δὲ καὶ ἐξανθήματα φοινικᾶ οἷον φῷδες περὶ τὸν θώρακά που γινόμενα᾽. καὶ Ἱππῶναξ δέ φησι· |

134 πρὸς τὴν μαρίλην τοὺς πόδας θερμαίνων
⟨φῷδας τ᾽ ἔχων⟩ οὐ παύεται.

καὶ Ἀριστοφάνης ἐν Κωκάλῳ φησί·

† παρέσο, κατέτριβεν ἱμάτια κἄπειτά πως
φῷδας τοσαύτας εἶχε τὸν χειμῶν᾽ ὅλον.

ἔνιοι δὲ τὰς φλυκτίδας ἐξεδέξαντο.

20. φθοΐσκους καὶ φθοῖς· ἔστι δὲ ποπάνων ἢ πλακούντων εἶδος, οὕτω καλουμένων παρ᾽ Ἀττικοῖς, ᾧ χρῶνται εἰς τὰς θυσίας. ἔστι δὲ τῷ σχήματι ὅμοιον καρδάμῃ.

16. *De artic. 72 (IV 296, 11 L. = II 228, 20 Kw.)* φλιάς **17**. *De victu acut. II 18 (II 494, 3 L. = I 171, 4 Kw.)* φορίνης *cf. Hes. IV 254, 69* Ἀριστοφάνης ὁ γραμματικός] *fr. LXXXVI N.* **18**. *De fract. 9 (III 450, 12 L. = II 62, 12 Kw.)* φλαύρως ξυναλθέεται (*B[II]* : ξυναλθάσσεται *M[II]V[II]*) **19**. *De morb. II 54 (VII 84, 7 L.)* φῴδων *cf. Hes. IV 265, 83* 9 Διοκλῆς ὁ Καρύστιος] *fr. 80 Wellm.* 11 Ἱππῶναξ] *fr. 59 B.* 14 Κωκάλῳ] *fr. 345 K.* **20**. *De mul. aff., nebut. I 104 (VIII 228, 6. 9 L.)* φθόεις

3 πυρίνης *Nauck* : πυκνῆς *codd.* φύσιν *codd.* : *corr. Steph.* 5 φλαῦρον LMO 7 γενόμενα LMO 8 ποδὶ *ten Brink Philolog. VI (1851) 72* : πυρὶ *codd.* καθίσουσι LMO 10 οἷα A 12 πόδας K : παῖδας *cett.* *ante* θερμαίνων *add.* τε *ten Brink* 13 φῷδας τ᾽ ἔχων *add. Bergk* 14 Κωκάλῳ *Steph.* : κολάκῳ *codd.* 16 χειμῶν᾽ ὅλον] tota hyeme *Eust.* : χειμώναυλον *codd.* 18 φθαῖς LMO 20 καρδάμῃ *Eust.* : καρδα´ A : κάρδῃ LMO

21. φαρκιδῶδες· ῥυτιδῶδες. φαρκὶς γὰρ λέγεται ἡ ῥυτίς.

22. ψώρας ἐλαίης· τῆς μὴ πεπείρου, ἀλλὰ δι᾽ ὠμότητα τραχείας. |

ΑΡΧΗ ΤΟΥ Χ 135

1. χλοώδει· χλωρῷ καὶ ἰκτερώδει. πεποίηται ἡ λέξις ἀπὸ τῆς χλόης.

2. χάριτες· αἱ χαραί, ὡς καὶ Σοφοκλῆς ἐν ἐλεγείᾳ μέμνηται. καὶ Ἀπολλόδωρος ἐν β´ Περὶ θεῶν φησι κληθῆναι [δὲ] αὐτὰς ἀπὸ μὲν τῆς χαρᾶς Χάριτας . . . καὶ γὰρ πολλάκις οἱ ποιηταὶ τὴν χάριν χαρὰν καλοῦσιν. ἔνιοι δὲ χάριτας εἶπον τὰς πιθανότητας, λέγοντες, ὅτι ἄχρι νῦν οἱ Ἀττικοὶ τὸ ἀπειθεῖν ἀχαριστεῖν λέγουσι.

3. χλοός· χλωριάσεως.

4. χεδροπά· τὰ ὄσπρια οὕτω καλοῦσιν οἱ Ἀττικοί. ἔνιοι δὲ διὰ τοῦ κ̄ γράφουσι κεδροπά. Ἀριστοφάνης ὁ γραμματικὸς διὰ τοῦ χ γράφων φησὶν χεδροπὰ τὰ παρ᾽ ἄλλοις ὄσπρια. εἴρηται γὰρ παρὰ τὸ τῇ χειρὶ αὐτὰ δρέπεσθαι, ὡς καὶ Νίκανδρος ἐν Γεωρ|γικοῖς φησι· 136

χειροδρόποι δ᾽ ἵνα φῶτες ἄνευ δρεπάνοιο λέγονται.

21. *De mul. aff. II 172 (VIII 354, 2 L.)* φαρκιδῶδες *(Littré :* φορακιῶδες *uulg.) Gal. XIX 150, 14 K.* 22. *De mul. aff. II 113 (VIII 244, 8 L.)* ψώρας τῆς ἀπὸ ἐλαίης

1. *interdum occurrit apud Hipp., sed unde Erot. desumpserit, non constat cf. Gal. XIX 155, 10 K.* 2. *Epid. VI 4, 7 (V 308, 13 L.)* χάριτες ἐλεγείᾳ] *fr. 3 B.* 9 β´ Περὶ θεῶν] *fr. 3 Müller (FHG. I 428)* 3. *non repperi cf. Gal. XIX 155, 9 Kw. Hes. IV 289, 38*

4. *De nat. pueri 12 (VII 488, 3 L.)* χεδροπά 16 Ἀριστοφάνης ὁ γραμματικὸς] *fr. XC´ N.* 19 Γεωργικοῖς] *immo Ther. 752*

1 φαρκικῶδες A : φαρμακικῶδες LMO : *corr. Steph.* 3 ψώρας *Eust.* : φωράς *codd.* 5 ἀρχὴ τοῦ χ *om.* A 10 δὲ *deleui* *lac. statui* 11 χαρὰν χάριν *transp. Klein* 14 χλωός LMO 15 χέδροπα *et sic ubique codd.* 20 ἄνευ] ἄτερ *Nicander* λέγωνται A : λέγωντες LMO

5. χαλκίον· χαλκοῦν ἀγγεῖον ἢ ἄρμενον.

6. χαραδρωθῶσιν· ἀντὶ τοῦ τελματωθῶσιν. χαράδραι γὰρ λέγονται οἱ τελματώδεις τόποι.

7. χοληγόν· χολῆς ἀγωγόν.

8. χρηστῶς· καλῶς.

9. χώλωμα· χάλασμά φησιν Ἀπολλόδωρος.

10. χαμαιζήλου· ταπεινῆς, ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι·

φράζεσθαι δ᾽ ἐπέοικε χαμαιζήλοιο κονύζης.

11. χλαίνας· τὰ † καινὰ ἱμάτια.

12. χῖαι· Ἐπικλῆς φησι † ψυχαί, οὐκ ὀρθῶς. χῖαι
137 γὰρ εἰσὶν ὑποδήματος | γυναικείου εἶδος, καθά φησιν Ἐρατοσθένης καὶ Καλλίστρατος ἐν ς΄ Συμμίκτων.

13. χελίσκον· τρύβλιον.

14. χειρωνάκται· χειροτέχναι.

5. *De a. a. l. 17 (II 66, 13 L. = I 59, 26 Kw.)* χαλκίον *(Heringa:* χάλκεον *codd.) cf. Hes. IV 271, 92* **6**. *De flat. 10 (VI 106, 13 L. = 22, 11 N.)* χαραδρωθῶσιν *(scripsi: de codd. uide app. Nelsoni)* **7**. *De loc. in hom. 27 (VI 318, 10 L.)* χοληγόν A^H *Gal. XIX 155, 13 K.* **8**. *De artic. 5 (IV 88, 7 L. = II 117, 11 Kw.)* χρηστῶς *fragm.* **78** **9**. *De artic. 53 (IV 232, 16 L. = II 194, 6 Kw.)* χωλώματος Ἀπολλόδωρος] *Etym. fr. 197 Müller (FHG. I 463)* **10**. *e De fract. 37 (III 544, 10 L. = II 102, 15 Kw.)* χαμαιζήλου *fluxisse uidetur* Θηριακοῖς] *70* **11**. *De artic. 47 (IV 204, 2 L. = II 177, 13 Kw.)* χλαίνας *(Ap. Cit. 16, 7 Schöne:* χλαῖναν B^H: χιτῶνας $M^H V^H$) *cf. Hes. IV 287, 89* **12**. *De artic. 62 (IV 268, 1 L. = II 214, 2 Kw.)* χῖαι (B^H: χειαί $M^H V^H$) 12 Ἐρατοσθένης] *fr. 145 Strecker* 13 Καλλίστρατος ἐν ς΄ Συμμίκτων] *uide R. Schmidt, De Callistrato p. 329 (23) n. 59* **13**. *e libro De artic. aut De uictu acut. fluxisse uidetur* **14**. *De uictu acut. I 3 (II 242, 1 L. = I 113, 5 Kw.)* χειρώνακτες *aut 11 (ibid. 318, 3 = 131, 14)* χειρωνακτέων *Hes. IV 279, 13*

1 χαλκίον A : χαλκεῖον LMO χαλκοῦ LMO 2 χαραδρωθῶσιν *Chartier* : χαράδρωσιν *codd.* τελματώδους A : τελματώδη LM : *corr. Foes 674* τελματώδη . . . οἱ *om.* O 6 χέλωμα *codd.* : *corr. Eust.* 10 καινὰ] χειμερινὰ *uel* καθαρὰ *conieci* 11 χεῖαι *utroque loco codd.* : *corr. Eust.* ψυχαί] σύκχοι *uel* συκχάδες *Schmidt Didym. fragm. p. 56, at uide Strecker De Lycophr. Euphr. Erat. p. 76* 12 ὑποδήματος C : ὑποδημ^ατ^ A : ὑποδήματα LMO

15. χηραμύδα· τὴν κοίλην κόγχην, ἣν μύακα καλοῦμεν. παρὰ τὸν χηραμὸν δ᾽ εἴρηται, ὅσπερ ἐστὶ κοῖλος τόπος. ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι·

τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληώρεας εὐνάς.

16. χυτλάζηται· ἀλείφηται. χύτλα γὰρ λέγονται τὰ μετὰ πολλοῦ ὕδατος καὶ ἐλαίου ἀλείμματα.

ΑΡΧΗ ΤΟΥ Ψ

1. ψαυόμενον· ἁπτόμενον. |

2. ψάγδᾳ· μύρου εἶδος, οὗ μέμνηται καὶ Εὔπολις ἐν 138 Μαρικᾷ.

ΑΡΧΗ ΤΟΥ Ω

1. ὤϊξα· ἀνέῳξα, ἔτεμον. ὡς καὶ Ὅμηρός φησι·

πᾶσαι δ᾽ ὠΐγνυντο πύλαι, ἐκ δ᾽ ἔσσυτο λαός.

καὶ πάλιν·

ὤϊξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο.

2. † ὡρέοντα· χρονίζοντα. ὧρος γὰρ ὁ χρόνος καὶ ὡρογράφοι οἱ περὶ χρόνου γράψαντες.

15. *saepe, uelut De morbis III 15 (VII 142, 2 L.)* χηραμίδα *cf. Gal. XIX 155, 6 K.* 3 Θηριακοῖς] 55 16. *non repperi cf. Hes. IV 301, 36*

1. *saepe, uelut De fract. 3 (III 426, 20 L. = II 51, 13 Kw.)* ψαυόμενον 2. *fort. De mul. aff. I 78 (VIII 176, 17 L.)* (μύρῳ) Αἰγυπτίῳ *aut II 126 (VIII 270, 14 L.)* λευκῷ Αἰγυπτίῳ 10 Μαρικᾷ] *fr. 198 K. Gal. XIX 156, 2 K. Hes. IV 2, 24*

1. *Epid. IV 1 (V 144, 2 L.)* ὤϊξα Ὅμηρος] Β 809 14 πάλιν] α 436 2. *ad librum De loc. in hom. 38 (VI 328, 11 L.)* ὡραῖα ἐόντα *pertinere coniecit Ilberg Abh. 134*

2 ὅσπερ K : ὥσπερ *cett.* 4 δὴ *Nicander* : δὲ οἱ *codd.* ὑληώρεας *Nicander* : πληρέας *codd.* 5 χητλάζηται *codd.* : *corr. Steph.* ἀλείφηται *Foes 686* : ἄλφιτα *codd.* χῆτλα *codd.* 9 ψάδᾳ *codd.* : *correxi* 10 μαρίᾳ *codd.* : *corr. Steph. 151* 15 ὤϊξε *codd.* 16 ὡραῖ᾽ ἐόντα *coni. Ilberg* 17 χρόνου A : χρόνον LMO : χρόνων Db

3. ὠτίδος καὶ ὀτίδος· ἑκατέρως γὰρ γράφεται. ἔστι δὲ ὀρνέου εἶδος, ὃ πλεῖστον μάλιστα ἐν Θράκῃ καὶ Μακεδονίᾳ εὑρίσκεται.

3. *De morbo sacro 1 (VI 356, 4 L.)* ὠτίδος *M*[II] : ὀτίδος θ[II] *cf.* **O 14** *cf. Gal. XIX 127, 8 K.*

1 ὠτίδος *Steph. 151* : ὠτίδα *codd.* ὀτίδος] ὠτίδος LMO

EROTIANI

FRAGMENTA

I. SCHOLIA *R^H*.

PROGNOSTICVM.

1. (I.)

20 (II 170, 15 L. = I 101, 15 Kw.) ἀλλοφάσσοντες] ἀλλοφάσσοντες· ἀπορούμενοι καὶ τεθορυβημένοι, ὥς φησι Βακχεῖος. Ξενόκριτος δὲ ὁ Κῷός φησι παρὰ τοῖς Ἴωσι λέγεσθαι τὸ ἀλλοφάσσειν ἐπὶ τοῦ τῆς διανοίας παραφόρου, πιθανῶς ἱστορῶν παρὰ τὸ ἄλλο φάσκειν καὶ ἄλλο φρονεῖν. *R^H*

PRORRHETICVS I.

2. (II.)

3 (V 510, 6 L.) δασεῖαι γλῶσσαι] δασεῖαι γλῶσσαι· αἱ ὑπὸ ξηρότητος τοσοῦτον κεκακωμέναι, ὡς μὴ διαρθροῦν τὰ λεγόμενα. δασὺς γοῦν ἦχος καὶ φωνὴ δασεῖα λέγεται ἡ πεπαχυμένῳ τῷ κατὰ τὴν προφορὰν γινομένη πνεύματι. *$R^H U^H$*

3. (III.)

17 (V 514, 10 L.) ὄμματα ἐπίχνουν ἴσχοντα] ὄμμα ἐπίχνουν οὐκ ἔστι ὀξυκίνητον, ὥς ἔνιοί φασιν, ἀλλὰ τὸ ἐναντίον δυσκίνητον καὶ κατάξηρον, εἰρημένον παρὰ τὸν χνοῦν καὶ δηλοῦν τὴν περὶ τὴν μήνιγγα φλεγμονὴν καὶ ξηρασίαν. *$R^H U^H$*

1. A 5

12 ξηροττ´ *R^H*   17 *ante* ὀξυκίνητον *add.* τὸ *R^H*

4. (IV.)

21 (V 516, 3 L.) ἀφρῶδες ἐπάνθισμα] ἀφρῶδες ἐπάνθισμα· ἀντὶ τοῦ τὸ ποικίλον. καὶ ἀνθηρὰ χρώματα τὰ ποικίλα καλεῖ. ἔνιοι δὲ τὰ πορφυρίζοντα καὶ οἷον δίαιμα ἤκουσαν. $R^H U^H$

5. (V.)

38 (V 520, 4 L.) ἀσαφεῖ] ἀσαφεῖς ἀκούσωμεν εἰρῆσθαι τοὺς διαλεγομένους ἀσαφῶς ἢ διὰ τὴν τῶν διαλεκτικῶν ὀργάνων βλάβην, ἣν ἐκ τῆς τῶν νεύρων κακώσεως ἔσχον, ἢ διὰ τὴν τῆς διανοίας αὐτῆς. $R^H U^H$

6. (VI.)

100 (V 538, 9 L.) γριφώμενα] Βακχεῖος ἐν β´ φησὶ συνεγγίζοντα καὶ συνάπτοντα, οὐ νοήσας. ἔστι γὰρ οὐ ψιλῶς συνάπτοντα, ἀλλὰ μετὰ σκολιότητός τινος. γρῖφον γὰρ οἱ παλαιοὶ τὸ αἰνιγματῶδες καὶ σκολιὸν λέγουσι. καὶ γρῖφον τὸ ἁλιευτικὸν δίκτυον ἀπὸ τῆς κατὰ τὴν πλοκὴν σκολιώσεως. εἰκὸς οὖν καὶ τὸν Ἱπποκράτην τὸ συμπαθὲς τῶν νεύρων καὶ οἷον συνελκόμενον σπασμωδῶς εἰπεῖν. ʽτὰ κατ᾽ ὀσφὺν καὶ τὰ ὑποχόνδρια ἀλγήματα᾽, ἔφησε, ʽγριφώμενα, ἀποσιτικὰ ἅμα πυρετῷ, τούτοισιν ἄλγημα κεφαλῆς ξύντονον ἐλθὸν κτείνει ὀξέως τρόπῳ τινὶ σπασμωδῶς᾽. $R^H U^H$

PRAECEPTIONES.

7. (VII.)

7 (IX 260, 7 L.) φθεγγώδεα] φλεδονώδεα ἐκάλεσε τὰ μετὰ φλυαρίας καὶ πνευματώδους ταραχῆς ἐκκρινόμενα. ἄλ-

6. *cf. Gal. XIX 91, 15 K.* 17 Ἱπποκράτην] *Prorrhet. l. c.*
7. Φ 3

3 τὸ ποικίλον ἀντὶ τοῦ $R^H U^H$: *transp. Klein* 14 σκολιότ[τ] R^H
18 τὰ κατ᾽ ὀσφὺν καὶ λεπτὸν χρόνια ἀλγήματα, πρὸς ὑποχόνδριον (-ια) γριφώμενα, ἀποσιτικὰ ἅμα πυρετῷ, τούτοισιν ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν κτείνει ὀξέως τρόπον σπασμώδεα *Hipp.* 19 ἀποσιτικὰ *ex Hipp. Klein* : αὐτίκα $R^H U^H$ 20 τούτοισιν] τουτέ[ως] (?) $R^H U^H$ ἐλθὼν R^H 24 *et* 101. 1 φλενοδώδα R^H

λοι δέ φασι μὴ δεῖν γράφειν φλεδονώδεα, ἀλλὰ φλεβονώδεα, ὡς εἶναι τὰ μετ' ἀλγήματος οἰδήματα. οἱ δὲ τὰ μετὰ σφυγμοῦ οἱονεὶ φλεβονώδη, τοῦ Ἱπποκράτους μηδόλως ὀνομάσαντος ἄλγημα. ἔστιν οὖν τὰ ἐν κινήσει καί τινι ταραχῇ ὄντα. φλέβας γὰρ οἱ ἀρχαῖοι καὶ τὰς ἀρτηρίας ἐκάλουν. R^H

DE HVMORIBVS.

8. (VIII.)

1 (V 476, 1 L.) ἄμπωτις] ἄμπωτις· κυρίως μὲν οὕτω λέγεται ἡ τῆς θαλάσσης ὑπαναχώρησις οἷον ἀνάπωσίς τις οὖσα, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων τὴν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος τῶν χυμῶν ὑποχώρησιν ἄμπωτιν ὠνόμασεν. $R^H C^H U^H$

9. (IX.)

1 (V 478, 2 L.) ἐκκεχυμωμένα] Ἐπικλῆς μέν φησιν ἐκπεπυωμένα καὶ ἐκχυμωθῆναι τὸ ἐκπυωθῆναι, ⟨οὐ⟩ νοήσας, ὡς οἶμαι. ἐκχύμωσις γὰρ κυρίως λέγεται, ὅταν ὁ κατὰ μέρος χυμὸς ἐκτὸς τοῦ ἰδίου γένηται ἐλύτρου. συμβαίνει γὰρ τοῦτο οὐκ ἐπὶ τῶν ἀφισταμένων σωμάτων, ἀλλὰ καὶ τῶν περιτεθλασμένων, ὅταν ἀγγείου ῥήξεως γενομένης ἡ τοῦ αἵματος σύνοδος εἰς τὰ τῆς σαρκὸς ἀραιώματα πελιώσῃ. $R^H C^H U^H$

10. (X.)

3 (V 480, 3 L.) ὀργασμός] ὀργασμός· μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων·

καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν.

8. *cf. Etym. Gen. s. u. (supra p. XXIII)* *schol.* E^H *Gal. XIX 77, 16 K.*
23 Πανδώρᾳ] *fr. 441 N.*

1 φλεβονώδα R^H *post hoc uerbum add.* εἶναι *Erot. codd.* 8 ἄμπωτις *om.* U^H 15 οὐ *add. Cobet Klein* 17 ἐρυθροῦ $R^H C^H U^H$: *corr. Cobet Klein* 20 πελιώσῃ κατὰ *(ambig. compend.)* ἀραιώματα U^H 23 πανδάρῳ $R^H C^H U^H$: *corr. Daremberg 203* 24 πῖλον $R^H C^H U^H$: *corr. Foes 460*

καὶ Ἀττικοὶ δὲ ἰδίως λέγουσι ὀργάσαι τὸ τὰ ὑγρὰ τοῖς ξηροῖς μεῖξαι καὶ ἀναφυρᾶσαι καὶ οἷον πηλὸν ποιεῖν. $R^H C^H U^H$

11. (XI.)

6 (V 484, 16. 17 L.) ὀργᾷ] ὀργᾶν· ὀρέγεσθαι, ἐπιθυμεῖν πρὸς συνουσίαν. ὀργὰς γὰρ τοὺς τρόπους ἐκάλουν οἱ ἀρχαῖοι, ὡς καὶ Ἀλκμάν φησιν· ʽἐν μὲν ἀνθρώπῳ ὀργαὶ κεκριμέναι μυρίαιʼ. $R^H C^H U^H$

12. (XII.)

6 (V 484, 20 L). γυιῶσαι] γυιῶσαι· βλάψαι, κακῶσαι. καὶ Ὅμηρος·

γυιώσω μέν σφωϊν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους. $R^H C^H U^H$

13. (XIII.)

20 (V 500, 9 L.) τερμίνθοισιν] τέρμινθός ἐστιν ἀπόστημα περὶ τὴν ἐπιφάνειαν γινόμενον μετὰ φλυκταινώσεως, ἧς ῥαγείσης ἰχώρ τις ἀπορρεῖ καὶ ἡ ὑποκειμένη σὰρξ κατατετρημένη φαίνεται. $R^H C^H U^H$

EPIDEMIAE.

14. (LXII.)

I 13 aeg. 2 (II 686, 11 L. = I 204, 5 Kw.) βληστρισμός] βληστρισμός· ῥιπτασμός. οὕτω Βακχεῖος τίθησιν. ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ σ̄. ὄντως δὲ τὸν ῥιπτασμὸν σημαίνει, καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν· ʽ† ἐγὼ δ᾽ ἐμαυτὸν πόλιν ἐκ πόλεως φέρων ἐβλήστριζονʼ, ἀντὶ τοῦ ἐρριπταζόμην. $R^H U^H$

6 Ἀλκμάν] *immo Bacchyl. fr. 44 B.* 10 Ὅμηρος] Θ *402* **13**. *cf. p. 8, 18 schol. E^H Gal. XIX 145, 11 K.* **14**. *cf. Hes. I 380, 26* 22 Ξενοφάνης] *fr. B 45 Diels*

5 ἀχαῖοι $R^H C^H U^H$: *corr.* U^H *man. post.* 10 καὶ . . . ἵππους *om.* U^H 22 κολώνιος $R^H U^H$: *corr. Daremberg 206* 23 *post* φησιν *intercidisse Xenoph. fr. B 8 Diels et uerba* ἐγὼ κτλ. *aliorsum spectare coni. Meineke* πόλιν *iterat* R^H

15. (LXIII.)

IV 1 (V 144, 2 L.) βλεννώδεα] ἔν τισιν ἀντιγράφοις εὕρομεν πλευμώδεα, οὐκ ὀρθῶς. βλεννώδη γάρ ἐστι τὰ μυξώδη, καὶ βλέννα ἡ μύξα. *R*[II]

16. (LXIV.)

V 1 (V 204, 4 L.) ἐβλιμάσθη] ἐβλιμάσθη· ἐπτίσθη, ἐμαλάχθη, ἐθλίβη. εἴρηται δὲ παρὰ τὸ βλίσσειν, ὅ ἐστι μαλάττειν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισί φησιν·

εἶτα λαβόντες πωλοῦσ᾽ ἀθρόους·
οἱ δ᾽ ὠνοῦνται βλιμάζοντες.

ὁμοίως καὶ Σοφοκλῆς μέμνηται τῆς λέξεως ἐν Πανδώρᾳ. *R*[II]

17. (LXV.)

V 7 (V 208, 2 L.) κοχώνην] κοχώνην· οἱ μὲν τὸ ἱερὸν ὀστοῦν. οἱ δὲ τὰς κοτύλας τῶν ἰσχίων, ἐξ ὧν ἐστιν Ἀριστοφάνης ὁ γραμματικός. Γλαυκίας δὲ καὶ Ἰσχόμαχος καὶ Ἱππῶναξ τὰ ἰσχία. οὐ γάρ, ὥς τινες ἔφασαν, αἱ ὑπογλουτίδες εἰσὶ κοχῶναι, ἀλλὰ τὰ σφαιρώματα καλούμενα. σάρκες δ᾽ εἰσὶν αὗται περιφερεῖς, ἐφ᾽ αἷς καθήμεθα. ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν Τριφάλητί φησι·

† τίς δὲ εἷς ὁ λοιπὸς ἐγγύτατα τὰς ὀσφύας
ἐπὶ τῶν κοχωνῶν ἀργὸς αὐτὸς ουτοσί;

καὶ Εὔπολις ἐν Κόλαξιν·

16. *cf. Gal. XIX 94, 9 K.* *Greg. Cor. Ion. 177* 8 Ὄρνισι] *529* 11 Πανδώρᾳ] *fr. 443 N.* 14 Ἀριστοφάνης ὁ γραμματικός] *hoc fragmentum fugit Nauck* 16 Ἱππῶναξ] *cf. p. 499 sq. B.* 19 Τριφάλητι] *fr. 544 K.* 22 Κόλαξιν] *immo Bapt. fr. 77 K.*

9 πώλους ἀώρους ἐπωνοῦνται *R*[II] : *ex Aristophane corr. Daremberg 214* 13 κογχώνην *et sic ubique R*[II] : *corr. Daremberg 214* 16 ὑπογλωττίδες *R*[II] : *corr. Daremberg* 19 τρυφάλη *R*[II] : *corr. Daremberg* 20 *sic in R*[II] *leguntur* : *praeeuntibus Daremberg et Schneidewin hoc modo restituit Kaibel Hermes XXX (1895) 430* : ὁ λισπόπυγος ἆρα ⟨τίς ἐστ᾽, ὁ καθήμενος⟩ ἐπὶ τῶν κοχωνῶν ἀργοναύτης οὑτοσί; ἐγγύτ^τ *R*[II]

ὅς καλῶς μὲν τυμπανίζεις
καὶ ἐπικινεῖς ταῖς κοχώναις
καὶ πείθεις ἄνω σκέλη.

καὶ ἐν Βάπταις·

καὶ τὸν Κέκροπα τὰ ἄνωθεν ἀνδρός φασ' ἔχειν
μέχρι τῶν κοχωνῶν, τὰ δὲ κάτωθεν θυννίδος.

καὶ Κράτης ἐν Σαλαμινίοις·

ἔπαιξαν ⟨αἱ⟩ γυναῖκες ἅμα τ' ὀρχηστρίδες
καλαί, ἐπὶ κοχωνῶν τὰς τρίχας καθειμέναι.

μέμνηται καὶ Στράττις ἐν Χρυσίππῳ καὶ Εὔβουλος ἐν Σκυτεῖ. R^H

18. (LXVI.)

V 15 (V 214, 7 L.) ἐσφακέλισε] τῷ ἐσφακέλισεν ἐν πολλοῖς τόποις κέχρηται ὁ Ἱπποκράτης, ὅπερ . . . ὁ δὲ Βακχεῖος ὀδύνην καὶ ἄλγημα καὶ φλεγμονήν φησιν εἶναι τὸν σφακελισμόν, παραθέμενος Εὐριπίδου λέξεις ἐκ Τημένου καὶ Ἱππολύτου, ἀγνοήσας τῆς λέξεως τὸ ποικίλον. κοινῶς γὰρ ὁ Ἱπποκράτης τὸν σφακελισμὸν ἐπί τινος βλάβης τίθησιν, ἰδίως ⟨δὲ⟩ ὁτὲ μὲν ἐπ' ὀδύνης, ὁτὲ δὲ ἐπὶ σήψεως, ἐνίοτε δὲ ἐπὶ βρεγμοῦ καὶ συγκινήσεως. πῶς γάρ, εἴπερ ἐπ' ὀδύνης μόνης ἔταττε τὴν λέξιν, ὀστᾶ σφακελίζειν ἔλεγε τὰ μηδεμιᾶς ἀλγηδόνος αἰσθανόμενα; μήποτε οὖν ἐπ' ὀστέου τίθησι τὴν λέξιν [τὸν σφακελισμὸν]

4 Βάπταις] *immo Colac. fr. 156 K.* 7 Σαλαμινίοις] *Sam. fr. 27 K.* 10 Χρυσίππῳ] *fr. 53 K.* 11 Σκυτεῖ] *fr. 97 K.* 16 Τημένου] *fr. 751 N.* Ἱππολύτου] *1352* σφάκελος

1 ὅς *Athenaeus 183 F* : οἷς R^H *post* τυμπανίζεις *add.* καὶ διαψάλλει τριγώνοις *Athenaeus* 3 ποεῖς *Dübner* : τίθεις *Schneidewin* 4 ἐμβάπτεις R^H : *corr. Dübner* 5 φασ' *(compendio scriptum) post* Κέκροπα R^H : *transp. Nauck* 6 θυμνίδος R^H : *corr. Daremberg* 7 Σαμίοις *coni. Daremberg* 8 αἱ *add. Kock* ἅμα τ' *Kock* : ἅ τ' R^H 10 στράτις R^H 13 τῷ *Daremberg 217* : τὸ R^H 14 *lac. indic. Klein* 15 σφακελλισμὸν *et sic ubique* R^H 16 Τημένου *Daremberg* : κτημένου R^H 18 δὲ *add. Daremberg* 19 βρεγμοῦ *suspectum* 21 ὀστᾶ *Daremberg* : ὥς τὰ R^H 22 τὸν σφακελισμὸν *del. Klein*

ἀντὶ τῆς σήψεως. ἔστιν ἰδεῖν καὶ Ἡρόδοτον ἐν τῇ β´ τῶν Ἱστοριῶν λέγοντα τοῦτον τὸν τρόπον· ʽμετὰ δὲ ταῦτα ὡς ἐσφακέλισε τὸ ὀστέον, ὁ μυελὸς τάχιστα ἐνεσάπηʼ. ἀμέλει καὶ τὸν Ἱπποκράτην ἔστι θεάσασθαι τὸ αὐτὸ λέγοντα ἐν Ἐπιδημιῶν ε´ οὕτως· ʽκαὶ τὴν ἡμέραν δὲ μέχρι δορπίου τοῦ Ἀρίστωνος δούλης ὁ ποὺς αὐτόματος ἐσφακέλισεν ἔσωθεν ἐκ πλαγίου καὶ τὰ ὀστέα ῥαγέντα ἀνεσάπη καὶ διεξῆει κατὰ μικράʼ. *R^{II}*

19. (LXVII.)

V 26 (V 224, 17 L.) δέρτρον] δέρτρον· Ἐπικλῆς μὲν τὸν ἐπίπλουν. ἔνιοι δὲ τὸ περιτόναιον. Μητρόδωρος δὲ τὸ ἐπιγάστριον, ὡς καὶ Ὅμηρός φησι·

γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον,
δέρτρον ἔσω δύνοντες. *R^{II}*

*20. (LXVIII.)

V 60 (V 240, 9 L.) ἀλυσμός] ἀπορία, ἀμηχανία, ῥιπτασμός. *R^{II}*

21. (LXIX.)

V 63 (V 242, 12 L.) ἐγγαστρίμυθοι] ἐγγαστρίμυθοι· ἃς πύθωνάς τινες καλοῦσιν. ἔστι δὲ τῶν ἅπαξ εἰρημένων. *R^{II} U^{II}*

22. (LXX.)

V 86 (V 252, 12 L.) ἀργής] ἀργής· λευκός, ὡς καὶ Ὅμηρός φησιν·

αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον. *R^{II}*

1 ἐν τῇ β´ τῶν Ἱστοριῶν] *immo III 66* 4 ἐν Ἐπιδημιῶν ε´] *duos locos contaminauit Erot., 22 (V 222, 7 L.) et 41 (V 232, 6 L.)* 12 Ὅμηρος] λ *578* **20**. *cf.* A **1** **21**. *cf. Hes. II 5, 23* 22 Ὅμηρος] ο *161*

3 ὁ μυελὸς] καὶ ὁ μηρὸς *Herodotus* ἐσάπη *Herodotus* 5 δορπηστοῦ *Hipp.* Ἀριστίωνος δούλης αὐτόματος ὁ ποὺς ἐσφακέλισε κατὰ μέσον τοῦ ποδὸς ἔνδοθεν ἐκ πλαγίου, καὶ τὰ ὀστέα σαπρὰ γενόμενα ἀπέστη, καὶ ἐξῄει κατὰ μικρόν *Hipp.* 11 τὸν ἐπίπλουν *Klein* : τὸν ἐπίπλοον *coni. Daremberg 218* : τὴν διπλόην *R^{II}* περιτόνεον *R^{II}* 14 δέρτρων *R^{II}*

23. (LXXI.)

V 86 (V 252, 13 L.) ἔβρυξε] ἔβρυξε· μετά τινος βίας ἐψόφησε τοῖς ὀδοῦσιν. ὁ δ' Ἱπποκράτης καταχρηστικῶς ἀντὶ τοῦ μετὰ βίας καὶ στεναγμοῦ φωνῆσαι τέταχε τὴν λέξιν. *R*[H]

24. (LXXII.)

V 89 (V 254, 2 L.) καρδιαλγίη] καρδιαλγεῖν λέγεται τὸ μετὰ ναυτίας καὶ ὀδύνης ἀνιᾶσθαι τὸν στόμαχον. *R*[H]

25. (LXXIII.)

VI 1, 5 (V 268, 7 L.) ἐλινύειν] Βακχεῖος μὲν ἐν α΄ φησὶν ἀργεῖν, σχολάζειν, λέγων, ὅτι Ἠλεῖοι μὲν ἐλινύειν τὸ σχολάζειν λέγουσι, Θύμβριοι δὲ τὸ ἀργεῖν. ὁ δὲ Ταραντῖνος Ἡρακλείδης ἐν τῷ β΄ πρὸς Βακχεῖον Περὶ τῶν Ἱπποκράτους λέξεών φησιν εἰλῆφθαι τὸ ἐλινύειν ἀπὸ τῆς εἵλης. αὕτη δέ ἐστιν ἡ θέρμη τοῦ ἡλίου καὶ αὐγή, ὅθεν καὶ ἀλέαν λέγουσι. καὶ ἀλεανθὲς ἔλαιον τὸ ἐν ἡλίῳ λευκανθέν. ἐπεὶ οὖν οἱ ἀλεαινόμενοι πρὸς ἡσυχίαν ἄγονται, τὸ ἡσυχάζειν ἐλινύειν εἶπον. ἐμοὶ δοκεῖ τὸ ἐλινύειν περιττῶς μὲν παρὰ τοῦ Ἡρακλείδου ἐτυμολογεῖσθαι, ἀκριβῶς δὲ ὑπὸ τοῦ Βακχείου παραδεδόσθαι. ἔστι γὰρ τὸ ἀργεῖν καὶ σχολάζειν, ὡς αὐτὸς Ἱπποκράτης ἐμφαίνει λέγων· 'ἐλινύειν οὐ συμφέρει, ἀλλὰ γυμνασίη', δηλονότι ἀντιδιαστέλλων τῇ κινήσει τὴν ἀργίαν. *R*[H]

26. (LXXIV.)

VI 1, 14 (V 274, 4 L.) πυρετοὶ . . δακνώδεες] δακνώδεες πυρετοί· οἱ ἐκ βάθους ἀναφερόμενοι καὶ δριμεῖς πρὸς τὴν ἁφήν, ἀφ' ὧν † κινηθεὶς θέμις καὶ πάντας τοὺς πυρετοὺς ἀπὸ τῆς ἐκ βάθους ἀναφερομένης τέταχε θερμασίας. *R*[H]

24. *uide p. 47, 16* 21 Ἱπποκράτης] *Epid. VI l. c.*

11 ἐλιννύειν *et sic ubique R*[H] 12 θύβριοι *R*[H] *: corr. Daremberg 218* 16 ἀλεανθὲς *scripsi* : ἡλιανθὲς *R*[H] 17 ἀλεταινόμενοι *R*[H] *: corr. Daremberg* 22 γυμνάσια *Hipp. codd.* δηλονότι *scripsi* : δῆλον ὡς *R*[H] : δηλῶν ὡς *Klein* 26 κινηθεὶς θέμις *corrupta* : κνήσεις· Θεμίσων ⟨δ' ἐν τούτοις⟩ *Ermerins Klein coll. Gal. IX 475 sq. K.* : πλανηθεὶς Θεμίσων *praetulerim*

27. (LXXV.)

VI 1, 14 (V 274, 7 L.) πεμφιγώδεες] πεμφιγώδεες· οἱ μετὰ φλυκταινώσεως γινόμενοι. λέγονται δὲ οὕτως αἱ ἐν τοῖς ὑετοῖς ἐπανιστάμεναι πομφόλυγες, ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι·

φλύκταιναι πέμφιξιν ἐειδόμεναι ὑετοῖο. *R*[II]

28. (LXXVI.)

VI 2, 1 (V 276, 4 L.) στενυγρῶσαι] στενυγρῶσαι· ἀποστεγνῶσαι καὶ πυκνῶσαι τὸν τόπον, ἐν ᾧ ἡ ὑγρασία ἐστίν. *R*[II]

29. (LXXVII.)

VI 3, 6 (V 296, 1 L.) γογγρῶναι] γογγρῶναι· οἱ μὲν τὰ ἐν τῷ τραχήλῳ γινόμενα παραμήκη ἐπάρματα, οἱ δὲ τὰς βρογχοκήλας, ἄλλοι δὲ τὰς γαγγραίνας. ὁ δὲ Εὐφορίων τὰς χοιράδας οἴεται καλεῖσθαι. εἴρηται γάρ, φησί, παρὰ τὸν γόγγρον, ὅς ἐστιν ἰχθὺς περιφερὴς καὶ ἐπιμήκης. Θεόφραστος δὲ ἐν τοῖς Φυτικοῖς γόγγρους φησὶν εἶναι τὰς ὀζώδεις ἐκφύσεις τῆς ἐλαίας. ἔστι δὲ ἰχθὺς θαλάττιος, ὡς εἰρήκαμεν, ὁ γόγγρος. *R*[II]

APHORISMI.

30. (LXI.)

3, 25 (IV 496, 15 L.) ὀδαξησμοί] ὀδαξησμοὶ ἢ ἀδαξησμοί· ἔν τισι γὰρ τῶν ἀντιγράφων οὕτως εὕρομεν. εἰσὶ γὰρ κνησμοὶ μετ' ἐρεθισμοῦ, ὡς καὶ Μένανδρος ἐν Πλοκίῳ φησί·

† τομῇ τὰς τρίχας αἴρων καὶ τὸν ῥύπον διδοὺς
πιεῖν ἀνηδαξᾶτο, ὥστε μὴ πιεῖν. *R*[II]*U*[II]

5 Θηριακοῖς] *273* 28. Σ 12 13 Εὐφορίων] *fr. 52 Scheidweiler* 16 Φυτικοῖς] I *8, 6* 23 Πλοκίῳ] *fr. 409 K.*

2 πεμφιγγώδεες *R*[II] 4 πομφόλυγγες *R*[II] 6 ὑετοῖς *R*[II] 8 ἀποστενῶσαι *R*[II] 23 πλοκίᾳ *R*[II]*U*[II] : *corr. Daremberg 205* 24 *sq. frustra temptata a uiris doctis uide apud Kock* 25 ἀνεδάξατο *R*[II] : ἀνεδέξατο *U*[II] : *corr. Daremberg*

DE NATVRA PVERI.

*31. (XIX.)

12 (VII 486, 12 L.) ῥαγῆς] τί ἔστι ῥαγή· ἀκμή, ὁρμή, βία. $R^{II}U^{II}$

*32. (XX.)

15 (VII 492, 23 L.) βύζην] γρ΄. βύζην· ἀντὶ τοῦ ἀθρόως. $R^{II}U^{II}$

DE MORBO SACRO.

33. (XVI.)

1 (VI 352, 2 sqq. L.) θειοτέρη. θεῖον] θεῖόν τινές φασι τὴν ἱερὰν νόσον. ταύτην γὰρ εἶναι θεόπεμπτον ἱεράν τε λέγεσθαι ὡς θείαν οὖσαν. ἕτεροι δὲ ὑπέλαβον τὴν δεισιδαιμονίαν. ʽἐξεταστέον γάρʼ, φασί, ʽποταπῷ χρῆται τύπῳ ὁ νοσῶν, ἵνα, εἰ μὲν Ἰουδαῖός τις ᾖ, τὰ χοίρεια ἐπ᾽ αὐτῷ παρατηρώμεθα, εἰ δ᾽ Αἰγύπτιος, τὰ προβάτεια ἢ αἴγειαʼ. ἄλλοι δὲ θεῖόν φασι τὸ ἐνθουσιαστικὸν πάθος. Βακχεῖος δὲ καὶ Καλλίμαχος Φιλῖνός τε καὶ ὁ Ταραντῖνος Ἡρακλείδης θεῖον ὑπέλαβον τὸ λοιμικὸν πάθος διὰ τὸ τοὺς λοιμοὺς ἐκ θεοῦ δοκεῖν εἶναι. ὁ δὲ Ξενοφῶν ὁ Πραξαγόρου γνώριμος θεῖον ἔφη τὸ τῶν κρισίμων ἡμερῶν γένος. ʽκαθάπερ γάρʼ, φησι, ʽτοῖς ἐν πελάγει χειμαζομένοις οἱ Διόσκουροι φανέντες σωτηρίαν ἐπιφέρουσι θεοὶ ὄντες, τοῦτο καὶ αἱ κρίσιμοι ἡμέραι γενόμεναι πολλάκις σωτηρίαν ἤνεγκανʼ. γνωστέον οὖν, ὅτι ὁ Ξενοφῶν ἁμαρτάνει θεῖον φήσας τὴν κρίσιμον ἡμέραν. εἰ γὰρ κατὰ τὸν Ἱπποκράτην πᾶσα ἡμέρα κρίσιμός ἐστι διὰ τὸ ποτὲ μὲν τὰς ἀρτίας ὑπ᾽ αὐτοῦ ὡς κρισίμους ὁρίζεσθαι,

31. *cf. Hes. III 417, 7* **32.** *cf.* B **12** 25 Ἱπποκράτην] *cf. Epid. I 12 (II 678, 5 L.* = *I 201, 18 Kw.)*

3 τί ἔστι ῥαγή *om.* U^{II} ἀκμῆς, ὁρμῆς, βίας U^{II} 12 δεισιδαιμονίην U^{II} 13 φησί $R^{II}C^{II}U^{II}$: *corr. Ermerins* 17 ὁ ταραντῖνος καὶ $R^{II}C^{II}U^{II}$: *transp. Klein* 18 τὸ *(sec.) om.* U^{II} 22 τοῦτο] ταὐτὸ *Klein* 26 ἀρτίας *Ermerins* : ἁμαρτίας $R^{II}C^{II}U^{II}$ αὐτοῦ *Klein* : αὐτῆς $R^{II}C^{II}U^{II}$

πλειστάκις δὲ τὰς περιττάς, δεήσει ἐπὶ των καμνόντων περὶ πασῶν ἡμερῶν σκέπτεσθαι. πρὸς τούτοις τί δήποτε πλειστάκις περὶ κρισίμων λαλήσας εἷς ἕνα μόνον τόπον θεῖον ὠνόμασε τὴν κρίσιμον ἡμέραν; καὶ οἱ τὴν ἐπιληψίαν θεῖον οἰόμενοι εἰρῆσθαι οὐκ ἀνέγνωσαν τὸν ἄνδρα. ῥητῶς γὰρ αὐτὸς ἐνθάδε μέμφεται τοὺς θεόπεμπτον ὀνομάζοντας τὸ πάθος δι' ὧν φησιν· ‘οὐδέν τί μοι τῶν ἄλλων νούσων δοκέει θειοτέρη εἶναι οὐδ' ἱερωτέρη, ἀλλὰ φύσιν ἔχει ἣν καὶ τὰ λοιπὰ νοσήματα’. οἵ τε τὴν δεισιδαιμονίαν οἰόμενοι εἰρῆσθαι σφόδρα εἰσὶν εὐήθεις. οὐ γὰρ ἔμελεν Ἱπποκράτει περὶ προγνώσεως γράφοντι μεμνῆσθαι τῶν διὰ τὰς τροφὰς νοσούντων, ἀλλ' οὐδὲ τὴν μανίαν οὐδὲ τὸ ἐνθουσιαστικὸν πάθος. τοὺς δὲ λέγοντας τὸν ἔρωτα θεῖον εἰρῆσθαι πιθανῶς λέγειν καὶ εὐλόγως τὸν Ἱπποκράτην παρεγγυᾶν, ἵνα παρατηρῶμεν, μὴ ἄρα τὰ παρεπόμενα συμπτώματα δι' ἐρωτικήν τινα συμπάθειαν γίνεται. $R^{II} C^{II} U^{II}$

34. (XVII.)

1 (VI 360, 14 L.) βρυχῶνται] βρυχῶνται· βαρὺ καὶ ἀσαφὲς καὶ ἀδιάρθρωτον φθέγγωνται. $R^{II} U^{II}$

35. (XVIII.)

13 (VI 384, 15 L.) λαγανίζει] λαγανίζει· χρωματίζει. λάγανον γὰρ εἶδος πλακοῦντος. $R^{II} U^{II}$

7 φησιν] *De morbo sacro l. c.* 10 Ἱπποκράτει περὶ προγνώσεως γράφοντι] *cf. Prognost. 1 (II 112, 5 L. = I 79, 1 Kw.)*

1 δεήσει *Ermerins* : δεῆσαν $R^{II} C^{II} U^{II}$ 7 οὐδέν τι μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων *Hipp.* 8 νουσήματα *Hipp. codd.* 10 ἔμελλεν $R^{II} C^{II} U^{II}$: *corr. Klein* 18 βρυχῶνται *om.* U^{II} 21 λαγανίζει R^{II} : ἤγουν U^{II} 22 γὰρ *om.* R^{II}

DE ARTE.

36. (LXXVIII.)

1 (VI 2, 15 L. = 36, 15 G.) ἐμπορευομένοις] ἐμπορευομένοις· καθοδοιποροῦσι κέρδους ἀνελευθέρου χάριν. Ὅμηρός φησιν·

ἔμπορος· οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων. $R^H U^H$

DE MEDICI OFFICINA.

37. (XXXVI.)

2 (III 276, 2 L. = II 30, 10 Kw.) ἄρμενα] Βακχεῖός φησι τὰ ἐναρμόζοντα, οὐκ ὀρθῶς. ἄρμενα γὰρ ἰδίως λέγεται τὰ πρὸς τὴν ἰατρικὴν χρείαν ἐπιτήδεια ἐργαλεῖα, οἷον σμιλία, φλεβοτόμα καὶ τἄλλα τὰ τούτοις ὅμοια. R^H

38. (XXXVII.)

4 (III 286, 2 L. = II 33, 2 Kw.) καταπρηνεῖ] καταπρηνεῖ· καταπεπτωκότι ἐπὶ πρόσωπον καὶ οἷον κάτω πρηνεῖ γενομένῳ, ὡς καὶ Ὅμηρός φησι·

πρίν με καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον,

δηλῶν τὸ κατεστραμμένον. R^H

39. (XXXVIII.)

9 (III 300, 8 L. = II 36, 3 Kw.) μύλῃ] μύλῃ· τῇ ἐπιγονατίδι, ὡς καὶ Ὅμηρος·

μύλης ἔπι μήλοπα καρπόν. $R^H U^H$

4 Ὅμηρος] β *319* 37. *fragm.* **61** 16 Ὅμηρος] Β *414*
39. *cf. Hes. III 127, 53* 21 Ὅμηρος] η *104*

4 ἐλευθέρου $R^H U^H$: *corr. Gomperz Apol. d. Heilk. 94* 11 σμιλία B^{H2} : σμιλ' R^H 12 τἄλλα *om.* B^{H2} 22 μύλοπα $R^H U^H$

VECTIARIVS.

40. (XXXIX.)

1 (IV 340, 11 L. = II 245, 13 Kw.) ἐπιμυλίδα] ἐπιμυλίδα· Βακχεῖος ἐν β' καὶ Πασικράτης ἐν τῷ Ἐξηγητικῷ τοῦ Μοχλικοῦ ἐπιγονατίδα. Διονύσιος δὲ Νικάτορα τὸν καὶ Σέλευκον ἱστορῶν φησι·

† τάδ' εἰς τοὔμπροσθεν ἀδυνατεῖ μύλης ὕπο.

καὶ Ὅμηρος·

αἱ μὲν ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν.

ἐμοὶ δὲ δοκεῖ τὸ ἐπικείμενον τῇ ἐπιγονατίδι δέρμα ἐπιμυλίδα εἰρηκέναι διὰ τὸ ἐπὶ τῇ μύλῃ εἶναι. ἔνιοι δ' ἐπιμυλίδας φασὶν εἶναι τὰς πλατείας ἐπιφύσεις. ἐπιγουνὶς δὲ τὸ ἀνώτερον μέρος τοῦ γόνατος, ⟨ὡς καὶ Ὅμηρος·⟩

οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει. *R*[H]

41. (XL.)

1 (IV 342, 14 L. = II 246, 19 Kw.) ῥεμβοειδέστατον] καμπυλώτατον. ῥαιβὸν γὰρ καὶ γαῦσον τὸ στρεβλὸν λέγεται. καὐτὸς δέ πού φησι· ‘‘καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσί, ῥαιβοειδέα τρόπον’’. † πλασίων δ' ἐπὶ τοῦ κατά τι μὲν κοίλου, κατά τι δὲ καμπύλου, ὡς Κινησίας τάττει τὴν λέξιν. *R*[H]

40. *cf. Gal. XIX 99, 13 K.* 5 Διονύσιος] *fr. com. adesp. 450 K.* 8 Ὅμηρος] η *104* 13 Ὅμηρος] σ *74* **41.** P 5 18 πού] *De artic. 45 (IV 192, 4 L. = II 172, 14 Kw.)* 20 Κινησίας] *fr. 3 B.*

3 ἐπιμυλάδα *R*[H] : *corr. Klein* 5 ψικάτορα *R*[H] : *corr. Kaibel Pauly-Wissowa V 928* 6 καὶ *Kaibel* : κατὰ *R*[H] 7 τοὔμπροσθεν] τὸ πρόσθεν *Daremberg 210* 9 ἔπι μήλοπα] ἐπιμυλάδα *R*[H] 10 ἐπιμυλάδα *R*[H] 13 ὡς καὶ Ὅμηρος *addidi* : οἷον Ὅμηρός φησιν *add. Daremberg* 17 ῥεμβόν *R*[H] 19 ῥεμβοειδέα *R*[H] πλασίων] *uide 75, 10 app.* 20 κοιλ' *R*[H]

42. (XLI.)

1 (IV 344, 10 L. = II 247, 14 Kw.) βαλβιδῶδες (βαλβιτῶδες R^{H})] βαλβιδῶδες· βαθμῶδες, ὥς φησι Βακχεῖος. βαλβὶς γὰρ ὁ βαθμός. καὶ γάρ ἐστι τὸ κατ' ἀγκῶνα μέρος τοῦ βραχίονος διὰ τὸ ὡς βαθμῷ ἐπικεῖσθαι αὐτῷ τὸ τοῦ πήχεως ἐμπρόσθιον κῶλον. Ἐπικλῆς δὲ βαλβῖδα λέγει ἓν ἀνθ' ἑνὸς οἷον ἔρεισμα. Νίκανδρος δὲ βαλβιδῶδές φησιν εἶναι τὸ πλατὺ καὶ ἡρμοσμένον. αἱ γὰρ βαλβῖδες ἕδραι εἰσὶ καὶ ἐπιβάσεις. R^{H}

43. (XLII.)

22 (IV 364, 14 L. = II 257, 9 Kw.) ῥοικοὶ μηροί] ῥοικοὶ μηροί· Βακχεῖός φησιν ἐξώγλουτοι, ⟨οὐκ ὀρθῶς.⟩ ῥοικοὶ γὰρ οἱ καμπύλοι, ὡς Ἀρχίλοχός φησιν·

ἀλλά μοι σμικρός ⟨τις⟩ εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσίν.

Ἡρακλείδης δὲ ὁ Ταραντῖνος ῥοικόν φησιν εἶναι τὸ ἔσω νεῦον καὶ σκαμβόν. R^{H}

44. (XLIV.)

26 (IV 370, 13 L. = II 261, 1 Kw.) γαυσότεροι] γαῦσον λέγεται κατὰ μὲν Βακχεῖον πᾶν τὸ σκαμβόν, οὐκ ὀρθῶς. ἔστι γὰρ τὸ εἰς τὸ ἔσω ἢ εἰς τὸ ἔξω ἀποκεκλικός, καθὼς καὶ ἐν τῷ Περὶ ἀγμῶν ὁ Ἱπποκράτης τάττων ἐπὶ μέρους τὴν λέξιν φησίν· 'ὁ δὲ μηρὸς εἰς τὸ ἔξω μέρος μᾶλλον ἢ εἰς τὸ ἔσω γαῦσός ἐστιν'. R^{H}

7 Νίκανδρος] *hoc fragmentum fugit Schneider* **43.** *cf. Gal. XIX 135, 14 K. Greg. Cor. Ion. 166* 13 Ἀρχίλοχος] *fr. 58, 3 B.* 22 Περὶ ἀγμῶν] *20 (III 484, 3 L. = II 77, 19 Kw.)*

11 ῥοικόμοροι R^{H} : *correxi* 12 *an* ἐξεχέγλουτοι? οὐκ ὀρθῶς *addidi* 14 τις *add. Gal. XVIII A 537, 16 K. schol. Theocr. IV 49 (p. 148, 21 Wendel)* ἰδεῖν *Gal. l. c. schol. Theocr. l. c.* : εἶδεν R^{H} 15 ποσίν R^{H} 22 τάττει R^{H} : *corr. Daremberg 212* 23 μηρὸς γαῦσός ἐστιν ἐς τὸ ἔξω μέρος ἢ ἐς τὸ ἔσω καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον ἢ ἐς τοὔπισθεν *Hipp.*

45. (XLV.)

30 (IV 372, 12 L. = II 262, 1 Kw.) λυγγώδεες] Βακχεῖος ἐν τρίτῳ φησὶ λυγγώδεις, Ἐπικλῆς δὲ σπασμώδεις. εἰσὶ γὰρ μᾶλλον λυγγώδεις οἱ μετὰ λύγγους, τουτέστι λυγμοῦ γιγνόμενοι, οἷς ἕπεται μετὰ σπασμοῦ τινος ἀποτελεῖσθαι. κεῖται καὶ ἐν τῷ Περὶ ἀγμῶν. *R*''

46. (XLVI.)

33 (IV 376, 1 L. = II 263, 18 Kw.) περιωτειλοῦται] περιωτειλοῦται· περιουλοῦται. ὠτειλὴ γὰρ ἡ οὐλὴ λέγεται συνεχῶς, σπανίως δὲ τὸ ἕλκος. ἐν μὲν γὰρ τῷ Περὶ ἀγμῶν καὶ Περὶ ἄρθρων ὠτειλάς φησιν ὁτὲ μὲν τὰ ἕλκη, ὁτὲ δὲ τὰς οὐλάς, ἐνθάδε μόνον τὰς οὐλάς. ὁ μέντοι Βακχεῖος ἐν α΄ τὰς οὐλὰς ἕλκη καὶ τραύματα οἴεται εἶναι, πλανηθεὶς οἶμαι ἀπὸ τῆς Ὁμηρικῆς συνηθείας, ἔνθα φησί·

καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς. *R*''

DE VLCERIBVS.

47. (XXXIV.)

1 (VI 400, 1 L.) ἕλκεα] ἕλκεα· νῦν μὲν τὰ πρόσφατα, ἐν δὲ τῷ Περὶ τραυμάτων καὶ βελῶν τὰ χρόνια οὕτω καλεῖ. *R*''*U*''

48. (XXXV.)

10 (VI 408, 16 L.) μυδῶσα] μυδῶσα· ἐκρέουσα. μυδᾶν γὰρ λέγεται τὸ ἐκρεῖν τὰ στερεὰ σώματα καὶ οἷον μαδᾶν ὥσπερ τριχῶν ἀποπιπτόντων ⟨ἀπὸ⟩ τῶν σωμάτων. *R*''*C*''*U*''

6 Περὶ ἀγμῶν *11 (III 456, 3 L. = II 65, 2 Kw.): 35 (III 536, 17 L. = II 99, 17 Kw.)* **46**. *cf. Gal. XIX 157, 6* 10 Περὶ ἀγμῶν] *in libro De fractis* ὠτειλή *non repperi, sed* ἕλκος *inde a cap. 7 passim* 11 Περὶ ἄρθρων] *uelut 11 (IV 106, 16 L. = II 128, 19 Kw.)* 14 φησί] T *25* **47**. *schol. E*'' *Gal. XIX 98, 7 K.* **48**. *Greg. Cor. Ion. 175*

15 καδδῆσαι *R*'' 24 ἀπὸ *add. Klein*

DE FRACTVRIS.

49. (XXI.)

1 (III 414, 1 L. = II 46, 9 Kw.) σοφιζόμενοι] σοφιζόμενοι· περιεργαζόμενοι. ἐν δὲ τῷ Περὶ ἄρθρων τεχναζόμενοι. εἴρηται δὲ παρὰ τὸ σόφισμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις καὶ ἐν Δαιταλεῦσί φησι·

† σοὶ γὰρ σοφίσματ' ἐστίν, ἁγὼ 'κτησάμην.
οὐκ εὐθὺς ἀπεδίδρασκες ἐκ διδασκάλου; *R*''

DE ARTICVLIS.

50. (XXVIII.)

37 (IV 164, 6 L. = II 157, 11 Kw.) ἡμιτυβίου] ἡμιτύβιόν ἐστι λινοῦν τι ἔνδυμα ἢ σινδόνιον δίκροσσον. *C*''

51. (XXIX.)

43 (IV 186, 4 L. = II 169, 12 Kw.) τύρσιν] τί ἔστι τύρσις· ἢ πύργος ἢ προμαχών. *R*''*U*''

52. (XXIX.)

43 (IV 186, 4 L. = II 169, 13 Kw.) ἀέτωμα] τί ἔστιν ἀέτωμα· ἡ στεφάνη τοῦ δώματος. *R*''*U*''

53. (XXX.)

46 (IV 198, 3 L. = II 175, 1 Kw.) ἐσμασάμενος] ἐμβαλών. *C*''

4 Περὶ ἄρθρων] *non repperi* 5 Νεφέλαις] **205** σόφισμα 6 Δαιταλεῦσι] *fr. 199 K.* **50.** *Hes. II 280, 28* **51.** Τ **20** **52.** Λ **114** **53.** Ε **60** *fragm.* **90**

7 ἁγὼ *Wilamowitz* : ἐγὼ *R*'' 14 τί ἔστι τύρσις *om. U*'' 15 πύργου *R*''*U*'' προμάχου *R*''*U*'' 17 τί ἔστιν ἀέτωμα *om. U*'' 18 σώματος *sed corr. ipse R*''

DE MORBIS.

54. (XLVII.)

I 3 (VI 144, 11 L.) κέδμα] κέδμα· ἡ χρονία περὶ τὰ ἄρθρα νοσώδης διάθεσις. τινὲς δὲ καὶ τὴν περὶ τὰ γεννητικὰ μόρια. $R^{H}C^{H}U^{H}$

*55. (XLVIII.)

II 8 (VII 16, 5 L.) βλητός] ἐλέγοντο βλητοί, ὅσοι ἀπὸ ὀξέων νοσημάτων αἰφνιδίως ἐτελεύτων. $R^{H}C^{H}U^{H}$

*56. (XLIX.)

II 20 (VII 34, 10 L.) κοτίδος] κοτίς ἐστι τῆς κεφαλῆς ἡ κορυφή. $R^{H}C^{H}U^{H}$

*57. (L.)

II 24 (VII 38, 11 L.) τερηδών] τερηδὼν λέγεται σκώληξ ξυλοτρώκτης οἰκῶν ἐν ξύλῳ. $R^{H}C^{H}U^{H}$

*58. (LI.)

II 33 (VII 50, 13 L.) κύαρ] κύαρ· τὸ τῆς ῥαφίδος τρῆμα. καὶ τὸ τῆς κώπης τοῦ μύλου. $R^{H}C^{H}U^{H}$

DE AFFECTIONIBVS INTERIORIBVS.

*59. (LII.)

21 (VII 220, 14 L.) ὠργισμένον] τετελεσμένον. $R^{H}U^{H}$

54. K 15 **55.** *schol. E^{H} Gal. XIX 88, 13 K.* **56.** *schol. E^{H} Gal. XIX 13, 17 K.* **57.** *Hes. IV 143, 19 schol. E^{H} Gal. XIX 145, 10 K.* **58.** *Hes. II 545, 52* **59.** *schol. E^{H} Gal. XIX 157, 1 K.*

IVSIVRANDVM.

60. (LXXXI.)

(IV 628, 5 L.) γενέτῃσιν] οἱ μὲν τοῖς γονεῦσιν, οἱ δὲ συγγενέσιν, οὕτως Ἀττικῶν λεγόντων, ὡς καὶ Φιλήμων ἐν Κόλακί φησιν·

> ἀλλ᾽ οὐδὲ γεννήτην δύναμαι εὑρεῖν οὐδένα
> ὄντων τοσούτων, ἀλλ᾽ ἀπείλημμαι μόνος.

καὶ Εἰρηναῖος ἐν τῷ Περὶ τῆς Ἀττικῆς συνηθείας φησίν· 'οἱ μὲν οὖν ἐκ τῆς αὐτῆς φυλῆς ὄντες φυλέται λέγονται, οἱ δὲ ἐκ τῆς αὐτῆς φρατρίας φράτορες, οἱ δὲ ἐκ τοῦ αὐτοῦ γένους γεννῆται'.

τοιαῦται μὲν λέξεις εἰσίν, ἃς συναγαγεῖν ἠδυνήθημεν καὶ ἀναπλώσεως καὶ ἐπικρίσεως ἀξιῶσαι. καίπερ δυσχεροῦς τῆς ἐπιβολῆς οὐκ ἰατροῖς μόνον οὔσης, ἀλλὰ καὶ γραμματικοῖς, οἷς μέλει πάσης συγγραφῆς τὰς ῥήσεις ἐξηγεῖσθαι, οὐκ ἔλαττον ἡμεῖς ἐπίστασθαι ἐπειράθημεν, θαυμαστότατε Ἀνδρόμαχε. διό, κἂν ἀμελῶς σοί τινα ἡρμηνεῦσθαι δόξῃ, μὴ ὀκνήσῃς ἡμῖν ἐμφανὲς ποιῆσαι, ἐπεὶ καὶ τὸ πρᾶγμα δυσεπίτευκτον καὶ αὐτοὶ οὐκ ἔνδοξοι πρὸς τὸ μαθεῖν ἃ μὴ ἴσμεν. $R^{II}U^{II}$

4 Φιλήμων ἐν Κόλακι] *immo Menander Col. fr. 296 K. = 5 Körte*
8 Περὶ τῆς Ἀττικῆς συνηθείας] *fr. 14 Haupt (Opusc. II 438)*

4 ἀττικῶς $R^{II}U^{II}$: *corr. Schneidewin Gött. Gel. Anz. 1852, 429* φιλήβων $R^{II}U^{II}$ 6 οὐδένα τῶν (*i. e.* οὐδένα ὄντων) $R^{II}U^{II}$ 8 Εἰρηναῖος *Ruhnken ad Tim. lex. s. u.* γεννηταί : ῥίνθος $R^{II}U^{II}$ 10 φατρίας $R^{II}U^{II}$: *correxi* φάτορες U^{II} 12 ἀναπληρώσεως $R^{II}U^{II}$: *correxi* : ἀναπλῶσαι *Kontos Bull. Corr. Hell. I (1877) 61* 14 μέλλ R^{II} : μέλλει U^{II} : *corr. Daremberg 220*

II. SCHOLIA B^{H2}.

DE MEDICI OFFICINA.

61. (XXXVI.)

2 (III 276, 2 L. = II 30, 10 Kw.) ἄρμενα] Βακχεῖός φησιν τὰ ἐναρμόζοντα, οὐκ ὀρθῶς. ἄρμενα γὰρ ἰδίως λέγεται τὰ πρὸς τὴν ἰατρικὴν χρείαν ἐπιτήδεια ἐργαλεῖα, οἷον σμιλία, φλεβοτόμα καὶ τὰ τούτοις ὅμοια.

62.

3 (III 280, 5 L. = II 31, 15 Kw.) εὐσταλέως] περιεσταλμένως; ibid. 9 (III 300, 6 L. = II 36, 1 Kw.) εὐσταλέστατα] περιεσταλμένως.

63.

4 (III 288, 3 L. = II 33, 9 Kw.) ἀγαθῶς] συμφερόντως.

64.

4 (III 288, 3 L. = II 33, 9 Kw.) καλῶς] εὐπρεπῶς.

65.

7 (III 292, 1 L. = II 34, 9 Kw.) σκέπαρνον] εἶδός ἐστι χιεσμοῦ, ὅτι ὁ ἐπίδεσμος πλάγιος ἐπιδεθῇ.

66.

7 (III 292, 1 L. = II 34, 9 Kw.) ἡμίτομον] ἐπιδέσμου ὄνομα.

61. *fragm.* **37** **62.** **E 29** **63.** **A 65** **64.** **K 32** **65.** **Σ 21** **66.** **H 5**

7 *ante* τὰ *add.* τἄλλα R^{H} 11 περιεστάμενος B^{H2} : *correxi* 18 χιεσμοῦ] δεσμοῦ *Erot. codd.* ὅτι *an* ὅταν *incertum* : ὅταν *Erot. codd.* ἐπιδεθῇ] δεθῇ *Erot. codd.*

67.

8 (III 294, 5 L. = II 34, 17 Kw.) ἡρμόσθαι] ἑδράσθαι.

68.

9 (III 300, 5 L. = II 35, 16 Kw.) ἄρθρα] ἰδίως τὰς συμβ⟨ολὰς⟩ τῶν ὀστῶν κα⟨λεῖ⟩.

69.

11 (III 306, 6 L. = II 37, 10 Kw.) ἐξάστιας] αἱ ἐμφερόμεναι τοῖς ἐπιδέσμοις κατὰ τὰς ἕλικας κρόκαι.

70.

11 (III 308, 6 L. = II 38, 2 Kw.) ἀναλελάφθαι] ἀνειλῆφθαι; De artic. 11 (IV 108, 1 L. = II 129, 3 Kw.) ἀναλελαμμένου] ἀνειλημμένου.

DE FRACTVRIS.

71.

7 (III 442, 10 L. = II 58, 11 Kw.); 23 (III 492, 7 L. = II 80, 3 Kw.) ἀπαιωρῆται] ἀπροκρέμαται.

72.

8 (III 444, 7 L. = II 59, 7 Kw.) σειρῇ] τῷ ἱμάντι.

73.

8 (III 446, 3 L. = II 60, 2 Kw.) κατάτασις] καταθέσεις.

74.

45 (III 556, 12 L. = II 107, 18 Kw.) πλανωδέστερον] τὰ μὴ κατὰ τάξιν [ὄντα] γινόμενα, ὡς ἀστέρες πλανῆται.

67. H 6 **68.** A 59 **69.** E 33 **70.** A 67 **71.** A 96
72. Σ 33 **73.** K 37 **74.** Π 38

5 *margine absciso quae desunt addidi* 18 τὸ B^{II2} : *correxi* 22 τὸ B^{II2} : *correxi* 23 ὄντα *delevi* ὡς ἀστέρες πλανῖται B^{II2} : ὅθεν καὶ πλάνητες πυρετοὶ κτλ. *Erot. codd.*

DE ARTICVLIS.

*75.

1 (IV 78, 10 L. = II 111, 13 Kw.); φλαύρως] κακῶς; ibid. 13 (IV 116, 11 L. = II 133, 11 Kw.) φλαύρους] κακούς.

76.

1 (IV 80, 18 L. = II 113, 7 Kw.) ἀνάγκην] βίαν.

77.

2 (IV 82, 15 L. = II 114, 8 Kw.) ἀμφισφάλλουσαι] περισφάλλουσαι.

*78.

5 (IV 88, 7 L. = II 117, 11 Kw.) χρηστῶς] καλῶς.

79. (XXIV.)

7 (IV 90, 13 L. = II 119, 1 Kw.) στρωτῆρα] δοκίδα.

80.

7 (IV 92, 11 L. = II 120, 6 Kw.) ἕδος] δίφρος Θε⟨σσα⟩λι⟨κ⟩ὸς ἀνακ⟨λισμὸν ἔχων⟩.

81. (XXV.)

8 (IV 96, 4 L. = II 122, 3 Kw.) πάντων τῶν προβάτων] πάντα τὰ τετράποδα.

82.

8 (IV 96, 12 L. = II 122, 13 Kw.) ἀμφώδοντα] τὰ ἄνωθεν καὶ κάτω ὠδοντισμένα.

75. Φ 4 **76.** Α 101 **77.** Α 102 **78.** Χ 8 **79.** Σ 39 **80.** *uerisimile est, scholiastam e glossa* Ε 36 *uerba* δίφρος ἀνακλισμὸν ἔχων Θεσσαλικὸς παρὰ τοῖς παλαιοῖς λέγεται *in usum suum conuertisse* **81.** Π 30 **82.** Α 108

15 *sq. margini abscisso quae desunt addidi* 22 κάτωθεν *Erot. codd.* ὀδοντισμένα B^{II2} : ὀδόντας ἔχοντα *Erot. codd.*

83.

9 (IV 100, 12 L. = II 125, 4 Kw.) ἀνοκωχέῃ (ἀνακωχέῃ *B*[II] : *correxi*)] ἀναπιέζει: ibid. 38 (IV 168, 4 L. = II 159, 13 Kw.) ἀνοκωχέειν (ἀνακωχέειν *B*[II] : *correxi*)] ἀναπιέζειν.

84.

9 (IV 100, 18 L. = II 125, 10 Kw.) λιπαρῶς] λιπαρῶς ἐμβρέχειν.

85.

14 (IV 124, 15 L. = II 138, 10 Kw.) πλοώδης] ἐμπλέουσα.

*86.

14 (IV 126, 8 L. = II 139, 1 Kw.) ἐπιτροχώτερον] ἐπιφορώτερον.

87.

36 (IV 160, 9 L. = II 155, 18 Kw.) ἄγχιστα] ἔγγιστα.

88.

37 (IV 164, 5 L. = II 157, 10 Kw.) ἄχνην] ὀθονίου ξύσμα.

89.

39 (IV 170, 14 L. = II 161, 7 Kw.) εὐαλθέα] εὐθεράπευτα.

90. (XXX.)

46 (IV 198, 3 L. = II 175, 1 Kw.) ἐσμασάμενος] ἐμβαλών.

83. A 69 **84. Γ 11** **85. H 49** **86. E 58** **87. A 77**
88. A 76 **89. E 52** **90. E 60** *fragm.* **53**

7 ἐν βρέχει *B*[II2] : *dubit. correxi* 11 ἐπιφορότερον *B*[II2] : εὐφορώτερον *Erot. codd.*

III. SCHOLIA V^{II}.

DE STERILIBVS.

91.

222 (VIII 430, 21 L.) τεῦχος] Ἐρωτι(ανοῦ). τεῦχος· τὸ ἀγγεῖον ἀκουστέον τὸ περιέχον τὰς σάρκας καὶ τὰ νεῦρα. δέρμα δὲ τὸ κάλυμμα τοῦ τεύχους ὀνομαστέον.

92.

230 (VIII 438, 18 L.) ἐχῖνον] Ἐρωτι(ανοῦ). ἐχῖνον καινόν· χύτραν καινήν. ἔστι γὰρ ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως καὶ Εὔπολις καὶ Μένανδρος ἐν Ἐπιτρέπουσι καὶ Φιλήμων ἐν Μυρμιδόσι.

93.

230 (VIII 440, 7 L.) σκυλάκιον] Ἐρωτι(ανοῦ). σκυλάκια σιαλώδεα· κύνεια κρέα λιπαρά.

94.

230 (VIII 444, 14 L.) ἡμίεκτον] Ἐρωτι(ανοῦ). ἡμιεκτέον· τὸ ἥμισυ τοῦ ἑκτέως. ἑκτεὺς δὲ λέγεται Ἀττικὸν μέτρον ἔχον χοίνικας ὀκτώ, ὥς φησι Μένανδρος ἐν Βοιωτίᾳ·

οὐκ ἔστιν ἑκτεὺς τοῦτο, μὰ τὸν Ἀσκληπιόν.

καὶ Ἀριστοφάνης φησί·

ἑκτεὺς δὲ ⟨γ'⟩ ἐστὶν ἑξαχοίνικον μέτρον.

91. T 9   92. E 79   10 Εὔπολις] *fr. 415 K.*   11 Ἐπιτρέπουσι] *fr. 185 K. = 10 Körte: uerbum dubit. suppleuit u. 384 Körte*   Μυρμιδόσι] *fr. 45 K.*   93. Σ 67   94. H 14   18 Βοιωτίᾳ] *fr. 91 K.*   20 Ἀριστοφάνης] *fr. inc. 640 K.*

9 γὰρ *om. Erot. codd.*   16 ἡμιεκτέα V^{II} 18 βοωτίᾳ V^{II} : βοιτίᾳ *Erot. codd.*   19 τοῦτο *Bentley* : τουτί V^{II} *Erot. codd.*   21 γ' *add. Fritsche*

IV. GREGORIVS CORINTHIVS.

DE DIALECTO IONICA.

***95**. (§ 171.)

μαλακὸν· τὸ τρυφερόν.

***96**. (§ 174.)

μιστύλην δὲ τὸν κοῖλον ἄρτον καλοῦσι.

***97**. (§ 176.)

καὶ τὸ δημόσιον ἐπιδήμιον.

***98**. (§ 187.)

τὸν μυλῶνα ζώτειον.

4 βλακόν *codd.* : *correxi*

INDICES

I. INDEX AVCTORVM.

II. INDEX GLOSSARVM ET VERBORVM NOTABILIORVM.

Erotianus
Erotiani vocum Hippocraticarum collectio cum fragmentis.